τὴν ξυνθήκην: acc. subject of **εἶναι**, "possible *that the composition* will be"

ἐκεῖνο τὸ προχειρότατον, ὁ ἱπποκένταυρος: οὐ γὰρ ἂν φαίης ἐπέραστόν τι ζῷον τουτὶ γενέσθαι, ἀλλὰ καὶ ὑβριστότατον, εἰ χρὴ πιστεύειν τοῖς ζωγράφοις ἐπιδεικνυμένοις τὰς παροινίας καὶ σφαγὰς αὐτῶν. τί οὖν; οὐχὶ καὶ ἔμπαλιν γένοιτ' ἂν εὔμορφόν τι ἐκ δυοῖν τοῖν ἀρίστοιν ξυντεθέν, ὥσπερ ἐξ οἴνου καὶ μέλιτος τὸ ξυναμφότερον ἥδιστον; φημὶ ἔγωγε. οὐ μὴν περί γε τῶν ἐμῶν ἔχω διατείνεσθαι ὡς τοιούτων ὄντων, ἀλλὰ δέδια μὴ τὸ ἑκατέρου κάλλος ἡ μῖξις συνέφθειρεν.

ἄριστος, *-η*, *-ον*: best
δέδια: to fear (*perf.*)
διατείνω: to extend, maintain
ἑκάτερος, *-α*, *-ον*: each of two
ἔμπαλιν: backwards, back
ἐπέραστος, *-ον*: lovely, amiable
ἐπιδείκνυμι: in indicate, represent
εὔμορφος, *-ον*: fair of form
ἔχω: to be able + *inf.*
ζώγραφος, ***ὁ***: a painter
ζῷον, ***τό***: a living being, animal
ἡδύς, *-εῖα*, *-ύ*: sweet
ἱπποκένταυρος, ***ὁ***: a centaur,
κάλλος, *-ους*, ***τό***: beauty
μέλι, ***μελιτος***, ***τό***: honey
ξυναμφότεροι, *-αι*: both together
ξυντίθημι: to put together, compose
οἶνος, ***ὁ***: wine
παροινία, ***ἡ***: drunken behaviour
πιστεύω: to trust in + *dat.*
πρόχειρος, *-ον*: at hand, ready
συμφθείρω: to destroy altogether
σφαγή, ***ἡ***: slaughter, butchery
τοιοῦτος, *-αύτη*, *-οῦτο*: such as this
ὕβριστος, *-η*, *-ον*: wanton, outrageous
χρή: it is necessary + *inf.*

τὸ προχειρότατον: "like that *most ready example*"

οὐ γὰρ ἂν φαίης: pres. opt. pot, "for you would not say"

γενέσθαι: aor. inf. of ***γίγνομαι*** in ind. stat. after ***φαίης***, "say *that this is* lovely"

παροινίας καὶ σφαγὰς: "their drunken behaviour and slaughter" referring to a famous episode where Centaurs and Lapiths turn a wedding feast into a bloody brawl

οὐχὶ γένοιτ' ἂν: aor. opt. pot. in rhetorical question expecting an affirmative answer, "Can it not be?"

ἐκ δυοῖν τοῖν ἀρίστοιν: gen. dual, "from the two best things"

ξυντεθέν: aor. part. nom. s. neuter of ***ξυν-τίθημι*** agreeing with ***εὔμορφόν τι***, "something fair *having been composed*"

φημὶ ἔγωγε: "I at least affirm"

οὐ μὴν ... γε: "surely not

διατείνεσθαι: pres. inf. complementing ***ἔχω***, "I am not able *to maintain*

ὡς τοιούτων ὄντων: gen. abs. representing indicative after ***διατείνεσθαι***, "maintain *that they are such*"

δέδια: perf. of ***δείδω*** with present sense, "I fear"

μὴ ... συνέφθειρεν: aor. indicative after verb of fearing indicating a fear of what has happened, "I fear the combination *has destroyed*"

6. *Οὐ πάνυ γοῦν συνήθη καὶ φίλα ἐξ ἀρχῆς ἦν ὁ διάλογος καὶ ἡ κωμῳδία, εἴ γε ὁ μὲν οἴκοι καθ' ἑαυτὸν καὶ νὴ Δία ἐν τοῖς περιπάτοις μετ' ὀλίγων τὰς διατριβὰς ἐποιεῖτο, ἡ δὲ παραδοῦσα τῷ Διονύσῳ ἑαυτὴν θεάτρῳ ὡμίλει καὶ ξυνέπαιζε καὶ ἐγελωτοποίει καὶ ἐπέσκωπτε καὶ ἐν ῥυθμῷ ἔβαινε πρὸς αὐλὸν ἐνίοτε καὶ τὸ ὅλον ἀναπαίστοις μέτροις ἐποχουμένη τὰ πολλά. τοὺς δὲ τοῦ διαλόγου ἑταίρους ἐχλεύαζε φροντιστὰς καὶ μετεωρολέσχας καὶ τὰ τοιαῦτα προσαγορεύουσα. καὶ*

ἀνάπαιστος, ***-ον***: anapestic (meter)
ἀρχή, ***ἡ***: a beginning, origin
αὐλός, ***ὁ***: a flute
βαίνω: to walk, step
γελωτοποιέω: to create, make laughter
γοῦν: at least then, at any rate, any way
διατριβή, ***ἡ***: a way of spending time, diatribe
Διόνυσος, ***ὁ***: Dionysus, god of revelry and the comic festivals in Athens
ἐνίοτε: sometimes
ἐπισκώπτω: to laugh at, make game of
ἐποχέομαι: to be carried upon, ride upon
ἑταῖρος, ***ὁ***: a comrade, companion
θέατρον, ***τό***: a theater
μετεωρολέσχης, ***-ου***, ***ὁ***: a star-gazer
μέτρον, ***τό***: a measure, metrical unit
ξυμπαίζω: to play or sport with
ὀλίγος, ***-η***, ***-ον***: few
ὅλος, ***-η***, ***-ον***: whole, entire
ὁμιλέω: to accomampany, visit
πάνυ: altogether, entirely
παραδίδωμι: to give over to another
περίπατος, ***ὁ***: a walking about, walking
ποιέω: to make
προσαγορεύω: to address, name
ῥυθμός, ***ὁ***: rhythm
συνήθης, ***-ες***: accustomed to each other
τοιοῦτος, ***-αύτη***, ***-οῦτο***: such as this
φίλος, ***-η***, ***-ον***: loved, beloved, dear
φροντιστής, ***-οῦ***, ***ὁ***: a deep, hard thinker
χλευάζω: to mock, jeer at

οἴκοι: locative, "at home"

ὁ μὲν ... ἡ δὲ: "while he (Dialogue) ... she (Comedy)"

ἐν τοῖς περιπάτοις: "in walks" a typical context for philosophical discussion, hence the name "Peripatetic" for Aristotle's followers

μετ' ὀλίγων: "with a few (friends)"

ἡ δὲ παραδοῦσα: aor. part., "she *having given herself to*" + *dat.*

θεάτρῳ: dat. after ***ὡμίλει***, "visited *the theater*" i.e. the theater of Dionysus in Athens

ὡμίλει: impf. of customary action, like the other verbs in this paragraph, "*she used to visit* the theater"

ἐν ῥυθμῷ ἔβαινε: "she used to step in rhythm" a reference to comedy's meter (as opposed to the prose of philosophical dialogue)

τὸ ὅλον: adverbial acc., "on the whole"

ἀναπαίστοις μέτροις: "riding *on anapests*" anapests were one of the main meters of Attic comedy in speaking parts (as opposed to the chorus)

ἐποχουμένη: pres. part. of ***ἐπι-ὀχέομαι***, "she *riding upon*"

φροντιστὰς καὶ μετεωρολέσχας: pred. acc. after ***ἐχλεύαζε***, "she used to mock them *as deep thinkers and star-gazers*" Aristophanes famously scoffed at Socrates in his comedies

μίαν ταύτην προαίρεσιν ἐπεποίητο ἐκείνους ἐπισκώπτειν καὶ τὴν Διονυσιακὴν ἐλευθερίαν καταχεῖν αὐτῶν, ἄρτι μὲν ἀεροβατοῦντας δεικνύουσα καὶ νεφέλαις ξυνόντας, ἄρτι δὲ ψυλλῶν πηδήματα διαμετροῦντας, ὡς δῆθεν τὰ ἀέρια λεπτολογουμένους. ὁ διάλογος δὲ σεμνοτάτας ἐποιεῖτο τὰς συνουσίας φύσεώς τε πέρι καὶ ἀρετῆς φιλοσοφῶν. ὥστε, τὸ τῶν μουσικῶν τοῦτο, δὶς διὰ πασῶν εἶναι τὴν ἁρμονίαν, ἀπὸ τοῦ ὀξυτάτου ἐς τὸ βαρύτατον. καὶ ὅμως ἐτολμήσαμεν ἡμεῖς

ἀέριος, ***-α***, ***-ον***: in the mist of morning
ἀεροβαίνω: to walk in the air
ἀρετή, ***ἡ***: goodness, excellence
ἁρμονία, ***ἡ***: a harmony
ἄρτι: just now
βαρύς, ***-εῖα***, ***-ύ***: heavy, low (note)
δείκνυμι: to display, exhibit
διαμετρέω: to measure off
Διονυσιακός, ***-ή***, ***-όν***: belonging to Dionysus
δίς: twice, doubly
ἐλευθερία, ***ἡ***: freedom, license
ἐπισκώπτω: to mock
καταχέω: to pour X *(acc.)* upon Y *(gen.)*
λεπτολογέω: to talk subtly, quibble
μουσικός, ***-ή***, ***-όν***: musical
νεφέλη, ***ἡ***: a cloud
ξύνειμι: to come together, commune (*fut.*)
ὅμως: nevertheless
ὀξύς, ***-εῖα***, ***-ύ***: sharp, high (note)
πήδημα, ***-ατος***, ***τό***: a leap, bound
προαίρεσις, ***-εως***, ***ἡ***: a preference
σεμνός, ***-ή***, ***-όν***: revered, august
συνουσία, ***ἡ***: conversation
τολμάω: to undertake, dare + *inf.*
φιλοσοφέω: to philosophise
φύσις, ***φύσεως ἡ***: nature,
ψύλλα, ***-ης***, ***ἡ***: a flea

ἐπεποίητο: plupf., "*she had made* one preference" i.e. she had one course of action

ἐπισκώπτειν ... καταχεῖν: pres. inf. in apposition to ***προαίρεσιν***, "one preference, namely, *to mock and to pour upon them*"

ἄρτι μὲν ... ἄρτι δὲ: "at this time ... at another time"

ἀεροβατοῦντας: aor. part. acc. pred., "represented them *walking in the air*"

ξυνόντας: pres. part. also acc. pred., "communing with" + *dat.*

ψυλλῶν πηδήματα: measuring the leap of a flea is an episode in *The Clouds* of Aristophanes, as is walking in air, communing with the clouds.

ὡς δῆθεν: indicating an alleged motive (***ὡς***) which is dismissed with irony (***δῆθεν***), "as though they were quibbling about misty things"

φύσεώς τε πέρι: anastrophe for ***περὶ φύσεως***

φιλοσοφῶν: pres. part. instrumental, "by philosophizing"

τὸ τῶν μουσικῶν τοῦτο: acc. of respect, "in terms of music"

ὥστε ... εἶναι: pres. inf. in result clause, "and so there was"

διὰ πασῶν (sc. ***χορδῶν***): "*through all* (the notes)" i.e. an octave, a musical term; hence ***δὶς διὰ πασῶν*** is two octaves

τὴν ἁρμονίαν: acc. subject of ***εἶναι***, "so that *the harmony* was two octaves apart"

τὰ οὕτως ἔχοντα πρὸς ἄλληλα ξυναγαγεῖν καὶ ξυναρμόσαι οὐ πάνυ πειθόμενα οὐδὲ εὐμαρῶς ἀνεχόμενα τὴν κοινωνίαν.

7. Δέδια τοίνυν μὴ αὖθις ὅμοιόν τι τῷ Προμηθεῖ *τῷ σῷ πεποιηκὼς φαίνωμαι τὸ θῆλυ τῷ ἄρρενι ἐγκαταμίξας καὶ δι' αὐτὸ δίκην ὑπόσχω. μᾶλλον δὲ καὶ κατ' ἄλλο τι τοιοῦτος ἂν φανείην, ἐξαπατῶν ἴσως τοὺς ἀκούοντας καὶ ὀστᾶ παραθεὶς αὐτοῖς κεκαλυμμένα τῇ πιμελῇ, γέλωτα κωμικὸν ὑπὸ σεμνότητι*

ἀκούω: to hear
ἀνέχομαι: to endure
ἄρρην, **ἄρρενος**, **τό**: the male sex
αὖθις: back, back again
γέλως, **γέλωτος**, **ὁ**: laughter
δέδια: to fear (*perf.*)
δίκη, **ἡ**: justice, charge
ἐγκαταμείγνυμι: to mix X *(acc.)* with Y *(dat.)*
ἐξαπατάω: to deceive thoroughly
εὐμαρῶς easily, conveniently
θῆλυς, **-εια**, **-υ**: female
καλύπτω: to cover with + *dat.*
κοινωνία, **ἡ**: association, partnership
κωμικός, **-ή**, **-όν**: of or for comedy, comic
ξυνάγω: to bring together, join
ὅμοιος, **-α**, **-ον**: like, resembling + *dat.*
ὀστέον, **τό**: a bone
παρατίθημι: to set before + *dat.*
πείθω: to prevail upon, obey (mid.)
πιμελή, **ἡ**: soft fat, lard
σεμνότης, **-ητος**, **ἡ**: gravity, solemnity
συναρμόζω: to fit together
τοίνυν: therefore, accordingly
τοιοῦτος, **-αύτη**, **-οῦτο**: such as this
ὑπέχω: to endure
φαίνομαι: to appear

τὰ οὕτως ἔχοντα: pres. part. attributive, "the things being thus"

πρὸς ἄλληλα: "join *with one another*"

ξυναγαγεῖν καὶ ξυναρμόσαι: infinitives complementing **ἐτολμήσαμεν**, "dared *to join and to fit together*"

πειθόμενα ... **ἀνεχόμενα**: pres. part. neut. pl. acc., "joined them not *obeying* nor *enduring*"

μὴ ... **φαίνωμαι**: pres. subj. after verb of fearing, "I fear lest I appear" + *part.*

τῷ Προμηθεῖ τῷ σῷ: dat. after **ὅμοιόν**, "similar *to your Prometheus*" i.e. of the interlocutor who called Lucian a Prometheus

πεποιηκὼς: perf. part. supplementing **φαίνωμαι**, "appear *to have made*"

τὸ θῆλυ (sc. **γένος**): acc. obj., "mingled *the female sex*"

ἐγκαταμίξας: aor. part. of **ἐν-κατα-μείγνυμι** instrumental, "by having mingled together"

ὑπόσχω: aor. subj. after verb of fearing (with **μὴ** above), "I fear *lest I endure* a charge"

μᾶλλον δὲ καὶ: "rather even more"

φανείην: aor. opt. pass. pot., "I might appear (to be)"

ἐξαπατῶν: pres. part. instrumental explaining **ἄλλο**, "in another way, namely, *by deceiving*" Prometheus was a famous trickster

παραθεὶς: aor. part. of **παρα-τίθημι** also instrumental, "and *by having set before* them"

κεκαλυμμένα: perf. part. agreeing with **ὀστᾶ**, "bones *having been covered with* fat" this was a famous trick that Prometheus played on Zeus in Hesiod's *Theogony* 537ff.

φιλοσόφῳ. τὸ γὰρ τῆς κλεπτικῆς -- καὶ γὰρ κλεπτικῆς ὁ θεός -- ἄπαγε. τοῦτο μόνον οὐκ ἂν εἴποις ἐνεῖναι τοῖς ἡμετέροις. ἢ παρὰ τοῦ γὰρ ἂν ἐκλέπτομεν; εἰ μὴ ἄρα τις ἐμὲ διέλαθεν τοιούτους ἱπποκάμπους καὶ τραγελάφους καὶ αὐτὸς συντεθεικώς. πλὴν ἀλλὰ τί ἂν πάθοιμι; ἐμμενετέον γὰρ οἷς ἅπαξ προειλόμην: ἐπεὶ τό γε μεταβουλεύεσθαι Ἐπιμηθέως ἔργον, οὐ Προμηθέως ἐστίν.

ἀπάγω: to drive away
ἅπαξ: once
διαλανθάνω: to escape notice
εἶπον: to speak *(aor.)*
ἐμμένω: to remain, abide
ἔνειμι: to be in + *dat*
Ἐπιμηθεύς, ***-έως***, ***ὁ***: Epimetheus
ἔργον, ***τό***: a work, task
ἦ: introducing an argument *ex contrario*
ἡμέτερος, ***-α***, ***-ον***: our
ἱππόκαμπος, ***ὁ***: monster with horse's body and fish's tail
κλεπτικός, ***-ή***, ***-όν***: thieving
κλέπτω: to steal, filch, purloin
μεταβουλεύω: to alter one's plans, change one's mind
μόνος, ***-η***, ***-ον***: alone, left alone
πάσχω: to suffer
προειλόμην: to choose (*aor.*)
συντίθημι: to put together, compose
τοιοῦτος, ***-αύτη***, ***-οῦτο***: such as this
τραγέλαφος, ***ὁ***: the goat-stag
φιλόσοφος, ***-ον***: philosophical

τὸ γὰρ τῆς κλεπτικῆς (sc. ***τέχνης***): "as for the (charge) *of the thieving* (craft)"
τοῦτο μόνον: acc. subject of ***ἐνεῖναι***, "say that *this alone* is in" + *dat.*
οὐκ ἂν εἴποις: aor. opt. pot., "you could not say"
παρὰ τοῦ: "from whom?"
ἂν ἐκλέπτομεν: impf. in pres. contrafactual question, "from whom *would we be stealing?*"
εἰ μὴ ἄρα: introducing a protasis and indicating the improbability of the hypothesis
διέλαθεν: aor. in past contrafactual protasis, "unless someone *had escaped my notice*" + *part.*
αὐτὸς: "he himself" i.e. independent of Lucian
συντεθεικώς: perf. part. of ***συν-τίθημι*** supplementing ***διέλαθεν***, "escaped my notice *having composed*" i.e. I hadn't noticed that someone had composed
πλὴν ἀλλὰ: indicating strong adversative, "but"
τί ἂν πάθοιμι: aor. opt. pot. of ***πάσχω***, "but what could I do?"
ἐμμενετέον: verbal adj. of ***ἐμμένω*** in periphrastic expression of necessity, "it must be abided (by me)" i.e. I must abide
οἷς: dat. pl. relative pronoun attracted into the case of its antecedent, "I must abide in (those things) which"
προειλόμην: aor., "which *I chose*"
τό μεταβουλεύεσθαι: pres. inf. articular, "the changing one's mind"
Ἐπιμηθέως: Epimetheus (after-thought) is the foolish brother of Prometheus (fore-thought)

Λουκιανου

Ζευξις ἢ Ἀντιοχος

Lucian's

Zeuxis or Antiochus

ΖΕΥΞΙΣ Ἢ ἈΝΤΙΟΧΟΣ

1. *Ἔναγχος ἐγὼ μὲν ὑμῖν δείξας τὸν λόγον ἀπῄειν οἴκαδε, προσιόντες δέ μοι τῶν ἀκηκοότων πολλοὶ (κωλύει γὰρ οὐδέν οἶμαι καὶ τὰ τοιαῦτα πρὸς φίλους ἤδη ὄντας ὑμᾶς λέγειν) – προσιόντες οὖν ἐδεξιοῦντο καὶ θαυμάζουσιν ἐῴκεσαν. ἐπὶ πολὺ γοῦν παρομαρτοῦντες ἄλλος ἄλλοθεν ἐβόων καὶ ἐπῄνουν ἄχρι τοῦ καὶ ἐρυθριᾶν με, μὴ ἄρα πάμπολυ τῆς ἀξίας τῶν*

ἀκούω: to hear
ἄλλοθεν: from another place
ἄλλος, ***-η***, ***-ον***: an other
ἀξία, ***ἡ***: the worth of + *gen.*
ἄπειμι: to go away *(fut.)*
ἄχρι: as far as, even to + *gen.*
βοάω: to cry aloud, to shout
γοῦν: at least then, at any rate
δείκνυμι: to display, present
δεξιόομαι: to greet with the right hand
ἔναγχος: *(adv.)* just now, lately
ἔοικα: to be like (*perf.*) + *dat.*
ἐπαινέω: to applaud, praise
ἐρυθριάω: to blush, to colour up
θαυμάζω: to wonder, marvel
κωλύω: to prevent + *inf.*
λέγω: to say
λόγος: a word, discourse
οἴκαδε: homewards
οἶμαι: to suppose, think
οὐδέν: nothing
πάμπολυ: *(adv.)* very much
παρομαρτέω: to accompany
πολύς, ***πολλά***, ***πολύ***; many
πρόσειμι: to approach *(fut.)* + *dat.*
τοιοῦτος, ***-αύτη***, ***-οῦτο***: such a one
φίλος, ***ὁ***: a friend

ὑμῖν ... ὑμᾶς: the audience of both an earlier discourse and the present one
δείξας: aor. part. temporal of ***δείκνυμι***, "*after having presented* a discourse"
ἀπῄειν: impf. of ***ἄπο-ειμι***, "I was departing"
προσιόντες: pres. part. of ***πρόσ-ειμι***, "and many *approaching* me"
τῶν ἀκηκοότων: perf. part. attrib. gen. pl. partitive of ***ἀκούω***, "many *of those who had heard*"
οἶμαι: parenthetical, "I suppose"
ὄντας: pres. part. causal, "*since you are* already friends"
λέγειν: pres. inf. after ***κωλύει***, "nothing prevents me *from speaking*"
ἐῴκεσαν: plupf. of ***ἔοικα*** with impf. meaning, "*they were like* those wondering"
ἐπὶ πολὺ: spatial, "up to a great (distance)"
ἄλλος ἄλλοθεν: "one from one place, another from another place" i.e. on all sides
τοῦ καὶ ἐρυθριᾶν: pres. inf. articular after ***ἄχρι***, "to the point *of even causing me to blush*"

ἐπαίνων ἀπολειποίμην. τὸ δ' οὖν κεφάλαιον αὐτοῖς τοῦτο ἦν, καὶ πάντες ἓν καὶ τὸ αὐτὸ ἐπεσημαίνοντο, τὴν γνώμην τῶν συγγραμμάτων ξένην οὖσαν καὶ πολὺν ἐν αὐτῇ τὸν νεωτερισμόν. μᾶλλον δὲ αὐτὰ εἰπεῖν ἄμεινον ἅπερ ἐκεῖνοι ἐπεφθέγγοντο: «Ὢ τῆς καινότητος. Ἡράκλεις, τῆς παραδοξολογίας. εὐμήχανος ἄνθρωπος. οὐδὲν ἄν τις εἴποι τῆς ἐπινοίας νεαρώτερον. «οἱ μὲν τοιαῦτα πολλὰ ἔλεγον, ὡς ἐκεκλήνηντο δηλαδὴ ὑπὸ τῆς ἀκροάσεως. ἢ τίνα γὰρ ἂν αἰτίαν εἶχον ψεύδεσθαι καὶ

αἰτία, ***ἡ***: a cause, reason
ἀκρόασις, ***-εως***, ***ἡ***: a hearing, listening
ἀμείνων, ***-ον***: better
ἄνθρωπος, ***ὁ***: a person
ἀπολείπω: to be distant from + *gen.*
γνώμη, ***ἡ***: a thought
δηλαδή: quite clearly
εἶπον: to speak *(aor.)*
εἷς, ***μία***, ***ἕν***: one
ἔπαινος, ***ὁ***: approval, praise
ἐπίνοια, ***ἡ***: power of thought, inventiveness
ἐπισημαίνω: to distinguish, specify
ἐπιφθέγγομαι: to speak plainly
εὐμήχανος, ***-ον***: ingenious, inventive
καινότης, ***-ητος***, ***ἡ***: newness, freshness
κεφάλαιος, ***-ον***: of the head, main
κηλέω: to charm, bewitch, beguile
νεαρώτερος, ***-ον***: newer
νεωτερισμός, ***ὁ***: innovation
ξένος, ***-η***, ***-ον***: foreign, exotic
παραδοξολογία, ***ἡ***: a marvel
πᾶς, ***πάσα***, ***πᾶν***: all, every
σύγγραμμα, ***-ατος***, ***τό***: a written speech
ψεύδομαι: to lie, beguile

μὴ ... ἀπολειποίμην: pres. opt. after verb expressing apprehension, "to blush lest *I be distant from* the worth"
τὸ κεφάλαιον: nom. pred., "this is *the main thing*"
ἓν καὶ τὸ αὐτὸ: "they were specifying *one and the same*" i.e. the very same thing
ξένην: pred. acc. after ***οὖσαν***, "that the thought was *exotic*"
οὖσαν: pres. part. in ind. stat. after ***ἐπεσημαίνοντο***, "specifying *that* the thought *was*"
τὸν νεωτερισμόν: (sc. ***ὄντα***), also in ind. stat., "*that the innovation* (was) much"
μᾶλλον δὲ: "but rather"
εἰπεῖν: aor. inf. epexegetic after ***ἄμεινον***, "better *to say*"
αὐτὰ ... ἅπερ: "*the very things which* they spoke"
Ὢ τῆς καινότητος: gen. of exclamation, "Oh the novelty!"
εἴποι: aor. opt. pot., "one *could say* that (there was) nothing"
τῆς ἐπινοίας: gen. of comparison after ***νεαρώτερον***, "nothing newer *than his inventiveness*"
ὡς ... ἐκεκλήνηντο: plupf. pass. of ***κηλέω***, "saying *that they had been bewitched*"
ἂν ... εἶχον: impf. in pres. contrafactual, "what reason *would they have*?"
ψεύδεσθαι καὶ κολακεύειν: pres. inf. epexegetic after ***αἰτίαν***, "reason *to lie and flatter*"

κολακεύειν τὰ τοιαῦτα ξένον ἄνθρωπον, οὐ πάνυ πολλῆς αὐτοῖς φροντίδος ἄξιον τὰ ἄλλα;

2. Πλὴν ἐμέ γε (εἰρήσεται γάρ) οὐ μετρίως ἠνία ὁ ἔπαινος αὐτῶν, καὶ ἐπειδή ποτε ἀπελθόντων κατ' ἐμαυτὸν ἐγενόμην ἐκεῖνα ἐνενόουν: οὐκοῦν τοῦτο μόνον χάριεν τοῖς ἐμοῖς ἔνεστιν, ὅτι μὴ συνήθη μηδὲ κατὰ τὸ κοινὸν βαδίζει τοῖς ἄλλοις, ὀνομάτων δὲ ἄρα καλῶν ἐν αὐτοῖς καὶ πρὸς τὸν ἀρχαῖον κανόνα συγκειμένων ἢ νοῦ ὀξέος ἢ περινοίας τινὸς ἢ χάριτος

ἀνιάω: to grieve, distress
ἄξιος, ***-ία***, ***-ον***: worthy of + *gen.*
ἀπῆλθον: to go away *(aor.)*
ἀρχαῖος, ***-α***, ***-ον***: archaic
βαδίζω: to go slowly, to walk
γίγνομαι: to become
ἐννοέω: to think, consider
ἔπαινος, ***ὁ***: approval, praise
ἐπειδή: after that
ἐρέω: to speak *(fut.)*
καλός, ***-η***, ***-ον***: beautiful
κανών, ***-όνος***, ***ὁ***: canon, rule
κοινός, ***-ή***, ***-όν***: common
κολακεύω: to flatter
μετρίως: (*adv.*) within measure
μόνος, ***-η***, ***-ον***: alone, only
νόος, ***ὁ***: mind, wit
ὄνομα, ***τό***: a name, word
ὀξύς, ***-εῖα***, ***-ύ***: sharp, keen
οὐκοῦν: therefore, and so
πάνυ: altogether, entirely
περίνοια, ***ἡ***: quick intelligence
πλήν: except, however
σύγκειμαι: to be composed
συνήθης, ***-ες***: customary, usual
φροντίς, ***-ίδος***, ***ἡ***: thought, care
χαρίεις, ***-ίεσσα***, ***-ιεν***: graceful, lovely
χάρις, ***χάριτος***, ***ἡ***: grace

τὰ τοιαῦτα ... τὰ ἄλλα: acc. of respect, "about such things ... about the other things"
ἐμέ γε: "was annoying *me at least*" i.e. even if no one else
εἰρήσεται γάρ: fut. pass. of ***ἐρέω***, "for it shall be mentioned" i.e. I must say
οὐ μετρίως: litotes, "it was annoying me *not moderately*" i.e. quite a bit
ἠνία: impf. of ***ἀνιάω***, "the praise *was annoying* me"
ἀπελθόντων: aor. part. gen. abs., "(them) *having left*"
κατ' ἐμαυτὸν (=ἐμέ αὐτὸν): a pred. phrase, "I became *by myself*" i.e. I was alone
χάριεν: nom. pred., "this is *graceful*"
τοῖς ἐμοῖς: sc. ***λόγοις***, dat. after ***ἔνεστιν***, "this alone is graceful *in my* (discourse)"
ὅτι μὴ ... μηδὲ: explaining ***τοῦτο***, "this alone, namely *that it is not ... that it does not*"
κατὰ τὸ κοινὸν, "that it does not walk *according to the ordinary*"
ὀνομάτων: gen. like the following list of characteristics. Lucian wonders if his discourse is "far from (***πόρρω***) these things" i.e. if are they absent from his work
πρὸς τὸν ἀρχαῖον κανόνα: "composed *according to the ancient canon*"
συγκειμένων: pres. part. gen. with ***ὀνομάτων*** "words *being composed*"
νοῦ ... περινοίας ... χάριτος: gen. after ***πόρρω***, "my work is far from keen *wit ... quick intelligence ...* from Attic *grace*" i.e. lacks these qualities

Ἀττικῆς ἢ ἁρμονίας ἢ τέχνης τῆς ἐφ᾽ ἅπασι, τούτων δὲ πόρρω ἴσως τοὐμόν. οὐ γὰρ ἂν παρέντες αὐτὰ ἐκεῖνα ἐπῄνουν μόνον τὸ καινὸν τῆς προαιρέσεως καὶ ξενίζον. ἐγὼ δὲ ὁ μάταιος ᾠμην, ὁπότε ἀναπηδῶντες ἐπαινοῖεν, τάχα μέν τι καὶ αὐτὸ τοῦτο προσάγεσθαι αὐτούς: ἀληθὲς γὰρ εἶναι τὸ τοῦ Ὁμήρου, καὶ τὴν νέαν ᾠδὴν κεχαρισμένην ὑπάρχειν τοῖς ἀκούουσιν: οὐ

ἀκούω: to hear
ἀληθής, **-ές**: unconcealed, true
ἀναπηδάω: to leap up, start up
ἅπας, **ἅπασα**, **ἅπαν**: quite all, the whole
ἁρμονία, **ἡ**: a harmony
Ἀττικός, **-ή**, **-όν**: Attic
ἐπαινέω: to approve, praise
ἴσως: perhaps
καινός, **-ή**, **-όν**: new, fresh
μάταιος: empty, foolish
νέος, **-α**, **-ον**: new
ξενίζω: to be strange
οἶμαι: to suppose
ὁπότε: when
παρίημι: to let fall, pass over
πόρρω: far from + *gen.*
προαίρεσις, **-εως**, **ἡ**: a plan, method
προσάγομαι: to draw to oneself, attract
τάχα: *(adv.)* perhaps
τέχνη, **ἡ**: art, skill
ὑπάρχω: to begin, to be
χαρίζομαι: to become dear to, to please
ᾠδή, **ἡ**: a song, lay, ode

τῆς ἐφ᾽ ἅπασι: an attributive phrase, "far from skill *in all things*"
τοὐμόν: **=τό ἐμόν** nom., "*my* (work) is perhaps far from these things"
παρέντες: aor. part. of **παρα-ίημι**, "*having passed over* these things"
οὐ γὰρ ἂν ... ἐπῄνουν: impf. of **ἐπι-αινέω** in present contrafactual, "for they would not be praising"
ξενίζον: pres. part. attributive, "praising the newness and *the strangeness*"
ὁ μάταιος: an attributive phrase, "I, *since I am a fool*"
ἐπαινοῖεν: pres. opt. in past general temporal clause, "when(ever) they were praising"
τάχα μέν τι καὶ: "*while perhaps somewhat also* this thing"
προσάγεσθαι: pres. inf. mid. in ind. stat. after **ᾠμην**, "I supposed that this thing (i.e. novelty) *was attracting* them
τὸ τοῦ Ὁμήρου: "*the (saying) of Homer* is true"
κεχαρισμένην: perf. part. pass. of **χαρίζομαι** forming a periphrastic perfect inf. with **ὑπάρχειν** in ind. stat., "the (saying) of Homer that the new song *is pleasing*" cf. *Odyssey* 1, 352
τοῖς ἀκούουσιν: pres. part. attributive, "pleasing *to those hearing*"

μὴν τοσοῦτόν γε οὐδὲ ὅλον τῇ καινότητι νέμειν ἠξίουν, ἀλλὰ τὴν μὲν ὥσπερ ἐν προσθήκης μοίρᾳ συνεπικοσμεῖν τι καὶ πρὸς τὸν ἔπαινον συντελεῖν καὶ αὐτήν, τὰ δὲ τῷ ὄντι ἐπαινούμενα καὶ ὑπὸ τῶν ἀκουόντων εὐφημούμενα ἐκεῖνα εἶναι. ὥστε οὐ μετρίως ἐπήρμην καὶ ἐκινδύνευον πιστεύειν αὐτοῖς ἕνα καὶ μόνον ἐν τοῖς Ἕλλησιν εἶναι λέγουσι καὶ τὰ τοιαῦτα. τὸ δὲ κατὰ τὴν παροιμίαν ἄνθρακες ἡμῶν ὁ θησαυρὸς ἦσαν, καὶ

ἄνθραξ, ***-ακος***, ***ὁ***: coal
ἀξιόω: to think worthy of
εἷς, ***μία***, ***ἕν***: one
Ἕλλην, ***ὁ***: a Greek
ἐπαίρω: to lift up
εὐφημέω: to honor by praise
θησαυρός, ***ὁ***: a treasure
καινότης, ***-ητος***, ***ἡ***: newness, freshness
κινδυνεύω: to run the risk of + *inf.*
μετρίως: *(adv.)* within measure
μοῖρα, ***-ας***, ***ἡ***: a part, portion
νέμω: to distribute, allot X *(acc.)* to Y *(dat.)*
ὅλος, ***-η***, ***-ον***: whole, entire
παροιμία, ***ἡ***: a proverb
πιστεύω: to believe
προσθήκη, ***ἡ***: an addition
συνεπικοσμέω: to help to adorn
συντελέω: to complete, contribute
τοιαῦτος, ***-η***, ***-ον***: such as this
τοσοῦτος, ***-αύτη***, ***-οῦτο***: so much
ὥσπερ: just as

οὐ μὴν τοσοῦτόν γε: a strong contrast to ***τάχα μέν τι*** above, "but certainly not so much"

οὐδὲ ὅλον: "nor the whole thing"

ἠξίουν: impf., "*I was thinking it worthy* to allot to"

ἀλλὰ τὴν μὲν: continuing ind. stat., "*but that while this* (i.e. novelty) helped to adorn somewhat"

καὶ αὐτήν: "and that *this too* (i.e. novely) contributed"

τὰ δὲ ... ἐπαινούμενα: pres. part. pass. attrib. acc., a contrast to ***τὴν μὲν*** above, "*that the things being praised* were"

τῷ ὄντι: pres. part. dat. of ***εἰμι***, used adverbially, "*really* being praised"

ὑπὸ τῶν ἀκουόντων: pres. part. attrib. gen. expressing agency, "honored by *those listening*"

εὐφημούμενα: pres. part. attrib. acc., "that *the things being honored* were those"

ἐκεῖνα: acc. pred., that they were *those*" i.e. the qualities listed above aside from novelty

ἐπήρμην: impf. pass. of ***ἐπι-αίρω***, "and so *I was lifted up*" i.e. buoyed by praise

ἐκινδύνευον: impf., "*I was running the risk of* believing" i.e. I almost believed

ἕνα καὶ μόνον: acc. pred. after ***εἶναι***, "saying that I am *the one and only*"

λέγουσι: pres. part. dat. agreeing with ***αὐτοῖς***, "believe them *saying*"

τὸ δὲ κατὰ τὴν παροιμίαν: "as the proverb says"

ὀλίγου δέω θαυματοποιοῦ τινος ἔπαινον ἐπαινεῖσθαι πρὸς αὐτῶν.

3. Ἐθέλω γοῦν ὑμῖν καὶ τὸ τοῦ γραφέως διηγήσασθαι. ὁ Ζεῦξις ἐκεῖνος ἄριστος γραφέων γενόμενος τὰ δημώδη καὶ τὰ κοινὰ ταῦτα οὐκ ἔγραφεν, ἢ ὅσα πάνυ ὀλίγα, ἥρωας ἢ θεοὺς ἢ πολέμους, ἀεὶ δὲ καινοποιεῖν ἐπειρᾶτο καί τι ἀλλόκοτον ἂν καὶ ξένον ἐπινοήσας ἐπ' ἐκείνῳ τὴν ἀκρίβειαν τῆς τέχνης ἐπεδείκνυτο. ἐν δὲ τοῖς ἄλλοις τολμήμασι καὶ θήλειαν

ἀεί: always
ἀκρίβεια, **ἡ**: exactness, precision
ἀλλόκοτος, **-ον**: strange, unusual
ἄριστος, **-η**, **-ον**: best
γοῦν: at any rate
γραφεύς, **-έως**, **ὁ**: a painter
γράφω: to paint
δέω: to lack
δημώδης, **-ες**: popular
διηγέομαι: to describe in full
ἐθέλω: to wish, purpose + *inf.*
ἔπαινος, **ὁ**: approval, praise
ἐπινοέω: to think of, contrive
ἥρως, **ἥρωος ὁ**: warrior, hero
θαυματοποιός, **ὁ**: a conjurer
θεός, **ὁ**: a god
θῆλυς, **-εια**, **-υ**: female
καινοποιέω: to make new, innovate
κοινός, **-ή**, **-όν**: common
ξένος, **-η**, **-ον**: exotic
ὀλίγος, **-η**, **-ον**: few, little
ὅσος, **-η**, **-ον**: how much
πάνυ: altogether, entirely
πειράω: to attempt, try + *inf.*
πόλεμος, **ὁ**: battle, war
τέχνη, **ἡ**: art, skill
τόλμημα, **-ατος**, **τό**: an act of daring
ἀκριβής, **-ές**: exact, accurate

ὀλίγου: gen. after **δέω**, "I lack *by a little*" i.e. almost
ἔπαινον: acc. cognate, "being praised *the praise*"
ἐπαινεῖσθαι: pres. inf. after **δέω**, "I am almost *being praised*"
πρὸς αὐτῶν: "from them"
τὸ τοῦ γραφέως: "the (work) of a painter"
Ζεῦξις: born 464, one of the most famous and innovative of ancient painters
γενόμενος: aor. part. of **γίγνομαι**, "Zeuxis *having become*"
ταῦτα: "common things *such as these*" i.e. the list given below
ἢ ὅσα πάνυ ὀλίγα: parenthetical concession, "never, *or at least very seldom*"
ἂν: with both **ἐπινοήσας** and **ἐπεδείκνυτο** having an iterative force
ἐπινοήσας: aor. part., "*having contrived* something unusual"
ἐπ' ἐκείνῳ: "the precision *in that*" i.e. in the unusual subject
ἐπεδείκνυτο: impf. iterative of **ἐπι-δείκνυμι** with **ἂν** above, "*he would display* the precision in that"

Ἱπποκένταυρον ὁ Ζεῦξις οὗτος ἐποίησεν, ἀνατρέφουσάν γε προσέτι παιδίω Ἱπποκενταύρω διδύμω κομιδῇ νηπίω. τῆς εἰκόνος ταύτης ἀντίγραφός ἐστι νῦν Ἀθήνησι πρὸς αὐτὴν ἐκείνην ἀκριβεῖ τῇ στάθμῃ μετενηνεγμένη. τὸ ἀρχέτυπον δὲ αὐτὸ Σύλλας ὁ Ῥωμαίων στρατηγὸς ἐλέγετο μετὰ τῶν ἄλλων εἰς Ἰταλίαν πεπομφέναι, εἶτα περὶ Μαλέαν οἶμαι καταδύσης τῆς ὁλκάδος ἀπολέσθαι ἅπαντα καὶ τὴν γραφήν. πλὴν ἀλλὰ τήν γε εἰκόνα τῆς εἰκόνος εἶδον, καὶ αὐτὸς ὑμῖν ὡς ἂν οἷός

ἀνατρέφω: to feed up, nurse up, educate
ἀντίγραφος, ***ὁ***: a copy
ἀπόλλυμι: to destroy utterly, kill, slay
ἀρχέτυπον, ***τό***: an original, archetype
δίδυμος, ***-ον***: double, twin
εἰκών, ***-όνος***, ***ἡ***: a likeness, image, portrait
εἶτα: next, then
ἱπποκένταυρος, ***ἡ***: a half-horse half-human, centaur
Ἰταλία, ***ἡ***: Italy
καταδύω: to go down, sink
κομιδῇ: exactly, just
μετηνεγκον: to carry over, transfer *(aor.)*
νήπιος, ***-α***, ***-ον***: not yet speaking, infant
οἷός τε εἰμι: to be able
ὁλκάς, ***-άδος***, ***ἡ***: a merchant ship
παίδιον, ***τό***: a young child
πέμπω: to send, despatch
προσέτι: over and above, besides
Ῥωμαῖος, ***-η***, ***-ον***: Roman
στάθμη, ***ἡ***: a carpenter's line, rule
στρατηγός, ***ὁ***: a general

ἀνατρέφουσαν γε: pres. part., "a centaur *actually nursing*"
παιδίω Ἱπποκενταύρω διδύμω: acc. dual, "nursing *two twin centaurs still young*"
νηπίω: also dual, "just *infants*"
Ἀθήνησι: dat., "in Athens"
ἀκριβεῖ τῇ στάθμῃ: dat. of manner, "with an exact rule" i.e. an exact copy
μετενηνεγμένη: perf. of ***μετα-ήνεγκον***, "having been transferred" i.e. copied
Σύλλας: Sulla (138 – 78 BC) was a Roman general and dictator famous for "collecting" art from defeated nations
μετὰ τῶν ἄλλων: "among other things"
πεπομφέναι: perf. inf. of ***πέμπω*** in ind. stat. after ***ἐλέγετο***, "is said *to have sent*"
περὶ Μαλέαν: Cape Maleas in the southeastern tip of the Peloponese was famous for inclement weather
καταδύσης: aor. part. in gen. abs., "the ship *having sunk*"
ἀπολέσθαι: aor. inf. of ***ἀπόλλυμι*** in ind. stat. after ***οἶμαι***, "I suppose that all *was lost*"
πλὴν ἀλλὰ τήν γε εἰκόνα: "*however that copy at least* I saw"
εἰκόνα τῆς εἰκόνος: "the copy of the painting"
ὡς ἂν οἷός τε ὦ: pres. subj. of ***οἷός τε εἰμι*** in general clause, "how (ever) much I am able"

τε ὧ δείξω τῷ λόγῳ, οὐ μὰ τὸν Δία γραφικός τις ὤν, ἀλλὰ πάνυ μέμνημαι οὐ πρὸ πολλοῦ ἰδὼν ἔν τινος τῶν γραφέων Ἀθήνησι. καὶ τὸ ὑπερθαυμάσαι τότε τὴν τέχνην τάχ᾽ ἄν μοι καὶ νῦν πρὸς τὸ σαφέστερον δηλῶσαι συναγωνίσαιτο.

4. Ἐπὶ χλόης εὐθαλοῦς ἡ Κένταυρος αὕτη πεποίηται ὅλῃ μὲν τῇ ἵππῳ χαμαὶ κειμένη, καὶ ἀποτέτανται εἰς τοὐπίσω οἱ

ἀποτείνω: to stretch out, extend
γραφεύς, -**έως**, **ὁ**: a painter
γραφικός, -**ή**, -**όν**: capable or painting
δείκνυμι: to bring to light, display
δηλόω: to show
εὐθαλής, -**ές**: blooming, flourishing
Ζεύς, **Δίος**, **ὁ**: Zeus
ἵππος, **ἡ**: a mare
κεῖμαι: to be laid
μιμνήσκω: to remind
ὅλος, -**η**, -**ον**: whole, entire
ὀπίσω: backwards
ποιέω: to make
σαφής, -**ες**: clear, plain
συναγωνίζομαι: to be an ally in a contest, to aid
τάχα: quickly, perhaps
τέχνη, **ἡ**: art, skill, craft
τότε: at that time, then
ὑπερθαυμάζω: to wonder exceedingly
χαμαί: *(adv.)* on the ground
χλόη, -**ης**, **ἡ**: the grass

δείξω: fut., "*I will display* to you"
τῷ λόγῳ: dat. of manner, "display *in speech*"
οὐ μὰ τὸν Δία: "not by Zeus"
ὤν: pres. part. causal, "*since* not *being* a painter"
μέμνημαι: perf. of **μιμνήσκω** with present meaning, "I recall"
οὐ πρὸ πολλοῦ: temporal, "not long before"
ἰδὼν: aor. part. of **εἶδον** after **μέμνημαι**, I recall *seeing*"
ἔν (sc. **οἴκῳ**) **τινος τῶν γραφέων**: "in (the house) of one of the painters"
τὸ ὑπερθαυμάσαι: aor. inf. articular nom. subect, "the wondering at" + *acc.*
τότε ... καὶ νῦν: "the wondering *then ... now also*"
τὸ ... δηλῶσαι: aor. inf. articular acc. with **πρὸς**, "aid me toward *showing* more clearly"
συναγωνίσαιτο: aor. opt. pot. with **τάχ᾽ ἄν** above, "perhaps *might aid* me" i.e. inspire me
πεποίηται: perf. pass. of **ποιέω**, "she *was made*" i.e. painted
ὅλῃ μὲν τῇ ἵππῳ: dat. of respect, "lying, *so far as the whole equine part*"
κειμένη: pres. part. nom. pred, "made to be *lying*"
ἀποτέτανται: perf., "her feet *were stretched out*"
εἰς τοὐπίσω (= **εἰς τό ὀπίσω**): "stretched out *towards the back*"

πόδες: τὸ δὲ γυναικεῖον ὅσον αὐτῆς ἠρέμα ἐπεγήγερται καὶ ἐπ᾽ ἀγκῶνός ἐστιν, οἱ δὲ πόδες οἱ ἔμπροσθεν οὐκέτι καὶ οὗτοι ἀποτάδην, οἷον ἐπὶ πλευρὰν κειμένης, ἀλλ᾽ ὁ μὲν ὀκλάζοντι ἔοικεν ὢν καμπύλος ὑπεσταλμένῃ τῇ ὁπλῇ, ὁ δὲ ἔμπαλιν ἐπανίσταται καὶ τοῦ ἐδάφους ἀντιλαμβάνεται, οἷοί εἰσιν ἵπποι πειρώμενοι ἀναπηδᾶν. τοῖν νεογνοῖν δὲ τὸ μὲν ἄνω ἔχει αὐτὴ ἐν ταῖς ἀγκάλαις καὶ τρέφει ἀνθρωπικῶς ἐπέχουσα

ἀγκάλη*, *ἡ: the bent arm
ἀγκών*, *-ῶνος*, *ὁ: the elbow
ἀναπηδάω: to leap up, start up
ἀνθρωπικῶς: in human fashion
ἀντιλαμβάνομαι: to lay hold of + *gen.*
ἄνω: upwards
ἀποτάδην: *(adv.)* stretched at length
γυναικεῖος*, *-α*, *-ον: womanly, female human
ἔδαφος*, *-εος*, *τό: the bottom, ground
ἔμπαλιν: backwards, back
ἔμπροσθεν: before, in front
ἔοικα: to be like *(perf.)*
ἐπανίστημι: to set up again
ἐπεγείρω: to rouse up, raise up
ἐπέχω: to hold to, present X *(acc.)* to Y *(dat.)*
ἠρέμα: *(adv.)* gently, slightly
ἵππος*, *ὁ: a horse
καμπύλος*, *-η*, *-ον: bent, crooked, curved
νεογνός*, *-ή*, *-όν: new born
οἷος*, *-α*, *-ον: such as
ὀκλάζω: to squat
ὁπλή*, *ἡ: a hoof
ὅσος*, *-η*, *-ον: as much as
οὐκέτι: no more, no longer
πειράω: to attempt, try to + *inf.*
πλευρά*, *-ᾶς*, *ἡ: a side
πούς*, *ποδός*, *ὁ: a foot
τρέφω: to nurse
ὑποστέλλω: to draw under

τὸ δὲ γυναικεῖον ὅσον: "but whatever was female human"
ἐπεγήγερται: perf. of ***ἐπι-εγείρω***, "*has been raised up* slightly"
οἱ ἔμπροσθεν: an attributive phrase, "the feet *in front*"
οὐκέτι: "no longer" indicating the impression of motion from a state of rest
ἀλλ᾽ ὁ μὲν: "while the one" i.e. front foot
ὀκλάζοντι: pres. part. dat. after ***ἔοικεν***, "is like *one squating*"
ὢν: pres. part. causal, "*since it is* bent"
ὑπεσταλμένῃ: perf. part. of ***ὑπο-στέλλω*** commitative dative agreeing with ***ὁπλῇ***, "with the hoof *drawn under*"
ὁ δὲ: "but the other (foot)"
ἐπανίσταται: pres. mid. of ***ἐπι-ανα-ίστημι***, "is starting to stand back up"
τοῖν νεογνοῖν: gen. dual partitive, "of the two new-borns"
τὸ μὲν: "*one* of them she holds up"
ἐπέχουσα: pres. part., "*presenting* her breast to (it)"

τὸν γυναικεῖον μαστόν, τὸ δ' ἕτερον ἐκ τῆς ἵππου θηλάζει ἐς τὸν πωλικὸν τρόπον. ἄνω δὲ τῆς εἰκόνος οἷον ἀπό τινος σκοπῆς Ἱπποκένταυρός τις, ἀνὴρ ἐκείνης δηλαδὴ τῆς τὰ βρέφη ἀμφοτέρωθεν τιθηνουμένης, ἐπικύπτει γελῶν οὐχ ὅλος φαινόμενος, ἀλλ' ἐς μέσον τὸν ἵππον, λέοντος σκύμνον ἀνέχων τῇ δεξιᾷ καὶ ὑπὲρ ἑαυτὸν αἰωρῶν, ὡς δεδίξαιτο σὺν παιδιᾷ τὰ βρέφη.

5. *Τὰ μὲν οὖν ἄλλα τῆς γραφῆς, ἐφ' ὅσα τοῖς ἰδιώταις ἡμῖν οὐ πάντῃ ἐμφανῆ ὄντα τὴν ὅλην ἔχει ὅμως δύναμιν τῆς*

αἰωρέω: to lift up, raise
ἀμφοτέρωθεν: from both sides
ἀνέχω: to hold up
ἀνήρ, ***ὁ***: a husband
βρέφος, ***-εος***, ***τό***: a baby
γελάω: to laugh
γραφή, ***ἡ***: a painting
δειδίττομαι: to frighten, alarm
δεξιά, ***ἡ***: the right hand
δηλαδή: quite clearly
δύναμις, ***-εως***, ***ἡ***: power
εἰκών, ***-όνος***, ***ἡ***: a likeness, image
ἐμφανής, ***-ές***: obvious to + *dat.*
ἐπικύπτω: to stoop over
ἔχω: to hold, contain ***ὅμως***: nevertheless
θηλάζω: to suckle
ἰδιώτης, ***-ου***, ***ὁ***: a private person, an amateur
λέων, ***-οντος***, ***ὁ***: a lion
μαστός, ***ὁ***: a breast
μέσος, ***-η***, ***-ον***: middle, in the middle
ὅλος, ***-η***, ***-ον***: whole, entire
ὅσος, ***-η***, ***-ον***: as many as
παιδιά, ***ἡ***: childishness, playfulness
πάντῃ: every way, completely
πωλικός, ***-ή***, ***-όν***: of foals, fillies
σκοπή, ***ἡ***: lookout-place
σκύμνος, ***ὁ***: a cub, whelp
τιθηνέω: to tend, nurse
τρόπος, ***ὁ***: a way, manner
φαίνομαι: to appear, be visible

τὸ δ' ἕτερον: "*but the other* of the two"
ἄνω δὲ τῆς εἰκόνος: "in the upper part of the painting"
τῆς ... τιθηνουμένης: pres. part. attrib., "the husband of that one, *the one nursing*"
ἀμφοτέρωθεν: "nursing *in two ways*"
ἐς μέσον: "visible *up to the middle*"
ὡς δεδίξαιτο: aor. opt. in purpose clause, "in order to frighten"
σὺν παιδιᾷ: dat. of manner, "with playfulness"
ἄλλα: "other (features)"
οὐ πάντῃ: litotes, "not completely"
ὄντα: pres. part. concessive, "*although* (not) *being* obvious to us"

τέχνης — οἷον τὸ ἀποτεῖναι τὰς γραμμὰς ἐς τὸ εὐθύτατον καὶ τῶν χρωμάτων ἀκριβῆ τὴν κρᾶσιν καὶ εὔκαιρον τὴν ἐπιβολὴν ποιήσασθαι καὶ σκιάσαι ἐς δέον καὶ τοῦ μεγέθους τὸν λόγον καὶ τὴν τῶν μερῶν πρὸς τὸ ὅλον ἰσότητα καὶ ἁρμονίαν— γραφέων παῖδες ἐπαινούντων, οἷς ἔργον εἰδέναι τὰ τοιαῦτα. ἐγὼ δὲ τοῦ Ζεύξιδος ἐκεῖνο μάλιστα ἐπῄνεσα, ὅτι ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποθέσει ποικίλως τὸ περιττὸν ἐπεδείξατο τῆς τέχνης, τὸν μὲν ἄνδρα ποιήσας πάντῃ φοβερὸν καὶ κομιδῇ ἄγριον,

---

ἄγριος, ***-α***, ***-ον***: fierce
ἀκριβής, ***-ές***: exact, precise
ἀποτείνω: to stretch out, extend
ἁρμονία, ***ἡ***: harmony
γραμμή, ***ἡ***: the stroke (*of a brush*)
δέον, ***τὸ***: the right, proper
εἷς, ***μία***, ***ἕν***: one
ἐπαινέω: to approve, praise
ἐπιβολή, ***ἡ***: an application
ἐπιδείκνυμι: to show, display
ἔργον, ***τό***: work, business
εὐθύς, ***εὐθεῖα***, ***εὐθύ***: straight, direct
εὔκαιρος, ***-ον***: well-timed, in season
ἰσότης, ***-ητος***, ***ἡ***: equality, balance
κομιδῇ: *(adv.)* exactly, altogether
κρᾶσις, ***-εως***, ***ἡ***: a mixing, blending
λόγος, ***ὁ***: proportion
μάλιστα: (*adv.*) especially
μέγεθος, ***-εος***: size, height
μέρος, ***-εος***, ***τό***: a part, share
ὅλος, ***-η***, ***-ον***: whole, entire
παῖς, ***παῖδος***, ***ὁ***: a child
πάντῃ: in every way
περιττός, ***-ή***, ***-όν***: extraordinary, prodigious
ποιέω: to make
ποικίλως: (*adv.*) varied
σκιάζω: to shade
τέχνη, ***ἡ***: skill, craft
ὑπόθεσις, ***-εως***, ***ἡ***: a subject
φοβερός, ***-ά***, ***-όν***: fearsome
χρῶμα, ***-ατος***, ***τό***: a colour

τὸ ἀποτεῖναι: aor. inf. articular, "such as *the extension* of the stroke"
ἐς τὸ εὐθύτατον: "to the greatest straightness"
ἀκριβῆ ... εὔκαιρον: note the predicative position of each ajective, "of the colors making the blend *accurate* .... the application *appropriate*"
ποιήσασθαι καὶ σκιάσαι: also aor. inf. articular, "to have made ... to have shaded"
ἐς δέον: "to the proper amount" i.e. properly
πρὸς τὸ ὅλον: "proportion of the parts *to the whole*"
ἐπαινούντων: pres. imper. 3 pl., "*let* the children of artists *praise*!"
εἰδέναι: perf. inf. epexegetic of ***οἶδα*** after ***ἔργον***, "whose business it is *to know*"
ἐν μιᾷ καὶ τῇ αὐτῇ: "*in one and the same* subject"
τὸ περιττὸν: "*the extraordinary extent* of his skill"
ὅτι ... ἐπεδείξατο: aor. of ***ἐπιδείκνυμι***, "this, namely *that he displayed*"
ποιήσας: aor. part. instrumental, "displayed *by making*"
φοβερὸν: acc. pred., "by making the husband *fearsome*"

σοβαρὸν τῇ χαίτῃ, λάσιον τὰ πολλὰ οὐ κατὰ τὸν ἵππον αὐτοῦ μόνον, ἀλλὰ καὶ κατὰ στέρνον τοῦ ἀνθρώπου καὶ ὤμους ἐπὶ πλεῖστον, τὸ βλέμμα, καίτοι γελῶντος, θηριῶδες ὅλον ὄρειόν τι καὶ ἀνήμερον.

6. *Τοιοῦτον μὲν ἐκεῖνον. τὴν θήλειαν δὲ ἵππου γε τῆς καλλίστης, οἷαι μάλιστα αἱ Θετταλαί εἰσιν, ἀδμῆτες ἔτι καὶ ἄβατοι, τὸ δὲ ἄνω ἡμίτομον γυναικὸς πάγκαλον ἔξω τῶν ὤτων: ἐκεῖνα δὲ μόνα σατυρώδη ἐστὶν αὐτῇ. καὶ ἡ μῖξις δὲ καὶ*

ἄβατος, ***-ον***: inaccessible
ἀδμής, ***-ῆτος***, ***ὁ***: untamed
ἀνήμερος, ***-ον***: not tame, wild
ἄνθρωπος, ***ὁ***: a person, human
ἄνω: upwards
βλέμμα, ***-ατος***, ***τό***: a look, glance
γελάω: to laugh
γυνή, ***γυναικὸς***, ***ἡ***: a woman
ἔξω: except for + *gen.*
ἡμίτομον, ***τό***: a half
Θετταλός, ***-η***, ***-ον***: Thessalian
θήλεια, ***ἡ***: a female
θηριώδης, ***-ες***: savage
κάλλίστος, ***-η***, ***-ον***: most beautiful
λάσιος, ***-ος***, ***-ον***: hairy, shaggy
μάλιστα: (*adv.*) very much. especially
μῖξις, ***ἡ***: the mixing, mingling
μόνος, ***-η***, ***-ον***: alone
ὄρειος, ***-α***, ***-ον***: of the mountains, ferocious
οὖς, ***ὠτός***, ***τό***: an ear
πάγκαλος, ***-η***, ***-ον***: very beautiful
πλεῖστος, ***-η***, ***-ον***: most, largest
σατυρώδης, ***-ες***: satyr-like
σοβαρός, ***-ά***, ***-όν***: pompous, haughty
στέρνον, ***τό***: the chest
χαίτη, ***ἡ***: flowing hair, mane
ὦμος, ***ὁ***: a shoulder

τῇ χαίτῃ: dat. comitative, "haughty *with his mane*"
τὰ πολλὰ: acc. adverbial, "for the most part"
οὐ ... μόνον, ***ἀλλὰ καὶ***: correlatives, "not only, but also"
ἐπὶ πλεῖστον: "for the most part"
καίτοι γελῶντος: pres. part. gen. concessive, "although of one laughing"
ὅλον ὄρειόν τι: "something completely ferocious"
Τοιοῦτον μὲν ἐκεῖνον: "such (he made) that one" i.e. the male centaur
ἵππου: gen. expressing the source from which the picture is drawn, "made from a most beautiful *mare*"
αἱ Θετταλαί: "like *Thessalian* (mares)"
ἐκεῖνα: nom. pl. neut., "these" i.e. the ears

ἡ ἁρμογὴ τῶν σωμάτων, καθ' ὃ συνάπτεται καὶ συνδεῖται τῷ γυναικείῳ τὸ ἱππικόν, ἠρέμα καὶ οὐκ ἀθρόως μεταβαίνουσα καὶ ἐκ προσαγωγῆς τρεπομένη λανθάνει τὴν ὄψιν ἐκ θατέρου εἰς τὸ ἕτερον ὑπαγομένη. τῶν νεογνῶν δὲ τὸ ἐν τῷ νηπίῳ ὅμως ἄγριον καὶ ἐν τῷ ἁπαλῷ ἤδη φοβερόν, καὶ τοῦτο θαυμαστὸν οἷον ἔδοξέ μοι, καὶ ὅτι παιδικῶς μάλα πρὸς τὸν σκύμνον τοῦ λέοντος ἀναβλέπουσι, μεταξὺ τῆς θηλῆς ἑκάτερος ἐπειλημμένοι

ἄγριος, ***-α***, ***-ον***: fierce
ἀθρόως: (*adv.*) suddenly
ἀναβλέπω: to look up
ἁπαλός, ***-ή***, ***-όν***: tender
ἁρμογή, ***ἡ***: joining, junction
γυναικεῖος, ***-α***, ***-ον***: of women
δόκέω: to seem to + *dat.*
ἑκάτερος: each of two, either
ἐπιλαμβάνω: to lay hold of, seize, attack
ἕτερος, ***-η***, ***-ον***: one of two, other
ἤδη: already
ἠρέμα: *(adv.)* gently
θαυμαστός, ***-ή***, ***-όν***: wondrous
θηλή, ***ἡ***: the teat, nipple
ἱππικός, ***-ή***, ***-όν***: of a horse
λανθάνω: to escape notice, to be unnoticed
λέων, ***-οντος***, ***ὁ***: a lion
μάλα: (*adv.*) very, very much
μεταβαίνω: to transition
μεταξύ: meanwhile
νεογνός, ***-ή***, ***-όν***: new-born
νήπιος, ***-α***, ***-ον***: not yet speaking, infant
ὅμως: nevertheless
ὄψις, ***ἡ***: look, power of vision
παιδικῶς: childishly
προσαγωγή, ***ἡ***: an addition
σκύμνος, ***ὁ***: a cub, whelp
συνάπτω: to to join together, unite
συνδέω: to join, bind together to + *dat.*
σῶμα, ***-ατος***, ***τό***: a body
τρέπω: to turn, direct
ὑπάγω: to lead little by little
φοβερός, ***-ά***, ***-όν***: fearsome

καθ' ὃ: "*according to which* it (the horse) is joined"
οὐκ ἀθρόως: litotes, "not suddenly" i.e. gradually
μεταβαίνουσα: pres. part. agreeing with ***ἁρμογὴ***, "the junction *transitioning*"
ἐκ προσαγωγῆς: "by gradual addition"
τρεπομένη: pres. part. pass. supplementary after ***λανθάνει*** also agreeing with ***ἁρμογὴ***, "the junction *being changed* escapes the notice"
ἐκ θατέρου (***=τοῦ ἑτέρου***): *from one* to the other"
ὑπαγομένη: pres. part. pass. circumstantial also agreeing with ***ἁρμογὴ***, "the junction *being led*"
τῶν νεογνῶν: gen. dual., "the infancy *of the two new-borns*"
τὸ ἐν τῷ νηπίῳ: an attributive phrase, "the in their infancy" i.e the infancy
ἄγριον ... φοβερόν: nom. neut. pred., "was nevertheless *fierce* ... already *fearsome*"
οἷον ἔδοξέ μοι: parenthetical, "as it seemed to me"
ὅτι ... ἀναβλέπουσι: clause of apposition explaining ***τοῦτο***, "this, namely *that they are looking at*"
ἐπειλημμένοι: perf. part. pl. circum. of ***ἐπι-λαμβάνω***, with subject ***ἑκάτερος***, "each (of the two) having taken hold of" + *gen.*

ἐν χρῷ τῇ μητρὶ προσιστάμενοι.

7. Ταῦτα δ' οὖν ἐπιδειξάμενος ὁ Ζεῦξις αὐτὸς μὲν ᾤετο ἐκπλήξειν τοὺς ὁρῶντας ἐπὶ τῇ τέχνῃ, οἱ δὲ αὐτίκα μὲν ἐβόων – ἢ τί γὰρ ἂν ἐποίουν καλλίστῳ θεάματι ἐντυγχάνοντες; ἐπῄνουν δὲ μάλιστα πάντες ἅπερ κἀμὲ πρώην ἐκεῖνοι, τῆς ἐπινοίας τὸ ξένον καὶ τὴν γνώμην τῆς γραφῆς ὡς νέαν καὶ τοῖς ἔμπροσθεν ἠγνοημένην οὖσαν. ὥστε ὁ Ζεῦξις συνεὶς ὅτι αὐτοὺς ἀσχολεῖ ἡ

ἀγνοέω: not to know
ἀσχολέω: to engage, keep busy
αὐτίκα: straightway
βοάω: to shout
γνώμη, ***ἡ***: an intention, sentiment
γραφή, ***ἡ***: a painting
ἐκπλήττω: to amaze
ἔμπροσθεν: before, earlier
ἐντυγχάνω: to encounter + *dat.*
ἐπιδείκνυμι: to display
ἐπίνοια, ***ἡ***: a conception
θέαμα, ***-ατος***, ***τό***: a sight, spectacle
κάλλιστος, ***-η***, ***-ον***: most beautiful
μήτηρ, ***μητρός***, ***ἡ***: a mother
νέος, ***-α***, ***-ον***: new, fresh
ξένος, ***-η***, ***-ον***: foreign, exotic
οἴομαι, to suppose, think
ὁράω, to see
ποιέω: to do
προσίστημι: to place near, bring near to + *dat.*
πρώην: earlier
συνίημι: to understand
χρώς, ***ὁ***: the skin

ἐν χρῷ: "close to the skin"
προσιστάμενοι: pres. part. mid. of ***προσ-ίστημι***, "bringing themselves close to" + *dat.*
ἐπιδειξάμενος: aor. part. mid., "Zeuxis *having displayed* such things"
ἐκπλήξειν: fut. inf. after ***ᾤετο***, "he supposed (that he would) *amaze*"
τοὺς ὁρῶντας: pres. part. attributive, "amaze *those seeing*"
ἐπὶ τῇ τέχνῃ: causal, "because of the skill"
οἱ δὲ: "but they" i.e. the spectators
ἐβόων: impf. inchoative, "they began shouting"
ἂν ἐποίουν: impf. contrafactual, "what else *could they do*?"
ἐντυγχάνοντες: pres. part. circum., "when encountering" + *dat.*
ἐπῄνουν: impf. of ***ἐπι-αίνω***, "all *were praising*"
ἅπερ κἀμὲ (=***καὶ ἐμὲ***): "*just as* those (Lucian's audience) were prasing *me also*"
τοῖς ἔμπροσθεν: dat. after ***ἠγνοημένην***, "unknown *to those before*"
ἠγνοημένην: perf. part. pass. acc. pred. of ***ἀγνοέω***, "that it was new and *unknown*"
ὡς ... οὖσαν: pres. part. acc. in ind. stat. "*that* the sentiment *was* new"
συνεὶς: aor. part. of ***συν-ίημι***, Zeuxis *having understood*"

ὑπόθεσις καινὴ οὖσα καὶ ἀπάγει τῆς τέχνης, ὡς ἐν παρέργῳ τίθεσθαι τὴν ἀκρίβειαν τῶν πραγμάτων, «Ἄγε δή,» ἔφη, «ὦ Μικίων,» πρὸς τὸν μαθητήν, «περίβαλε ἤδη τὴν εἰκόνα καὶ ἀράμενοι ἀποκομίζετε οἴκαδε. οὗτοι γὰρ ἡμῶν τὸν πηλὸν τῆς τέχνης ἐπαινοῦσι, τῶν δὲ αὖ φώτων εἰ καλῶς ἔχει καὶ κατὰ τὴν τέχνην, οὐ πολὺν ποιοῦνται λόγον, ἀλλὰ παρευδοκιμεῖ τὴν ἀκρίβειαν τῶν ἔργων ἡ τῆς ὑποθέσεως καινοτομία.»

8. Ὁ μὲν οὖν Ζεῦξις οὕτως, ὀργιλώτερον ἴσως. Ἀντίοχος

αἴρω: to raise, lift up
ἀκρίβεια, ***ἡ***: exactness, precision
ἀπάγω: to lead away, distract
ἀποκομίζω: to carry away, escort
αὖ: again, anew
εἰκών, ***-όνος***, ***ἡ***: an image, portrait
ἔργον, ***τό***: a work
ἴσως: perhaps
καινός, ***-ή***, ***-όν***: new, novel
καινοτομία, ***ἡ***: innovation
λόγος, ***ὁ***: word, mention
μαθητής, ***-οῦ***, ***ὁ***: a student, pupil
οἴκαδε: homewards
ὀργίλος, ***-η***, ***-ον***: prone to anger, irascible
πάρεργος, ***-ον***: subordinate, incidental
παρευδοκιμέω: to surpass in reputation
περιβάλλω: to throw round
πηλός, ***ὁ***: clay
ποιέω: to make
πρᾶγμα, ***-ατος***, ***τό***: a deed, matter
τίθημι: to set, put, place
ὑπόθεσις, ***-εως***, ***ἡ***: a subject
φημί: to declare, say
φῶς, ***φωτός***, ***τό***: light

καινὴ οὖσα: pres. part. causal, "because the subject *was novel*
τῆς τέχνης: gen. of separation after ***ἀπάγει***, "was distracting them *from the skill*" i.e. from observing it
ἐν παρέργῳ: "were placing *in a subordinate* (position)"
τίθεσθαι: pres. inf. in result clause with ***ὡς***, "so that they were placing"
Ἄγε δή: imper., "come on then!"
περίβαλε: aor. imper., "throw around!" i.e. cover
ἀράμενοι: aor. part. mid. of ***αἴρω***, "and having lifted it up" note the shift from singular to plural
τὸν πηλὸν: "the clay" i.e. the mere material as opposed to the craftmanship
τῶν δὲ αὖ φώτων: "but of the lights" i.e. the effects of light
καλῶς ἔχει: "whether *it is beautiful*"
οὐ πολὺν: litotes, "not much" i.e. little
ὀργιλώτερον: acc. adverbial, "more irascibly" i.e. than called for
Ἀντίοχος: Antiochus III Soter (324 –261 BCE) of the Seleucid Empire. The victory over the Gauls in 278 described here led to his title "savior." However Lucian is our only source for his use of elephants and may be fictional.

δὲ ὁ σωτὴρ ἐπικληθεὶς καὶ οὗτος ὅμοιόν τι παθεῖν λέγεται ἐν τῇ πρὸς Γαλάτας μάχῃ. εἰ βούλεσθε, διηγήσομαι καὶ τοῦτο, ὁποῖον ἐγένετο. εἰδὼς γὰρ τούτους ἀλκίμους ὄντας καὶ πλήθει παμπόλλους ὁρῶν καὶ τὴν φάλαγγα καρτερῶς συναραρυῖαν καὶ ἐπὶ μετώπου μὲν προασπίζοντας τοὺς χαλκοθώρακας αὐτῶν, ἐς βάθος δὲ ἐπὶ τεττάρων καὶ εἴκοσι τεταγμένους ὁπλίτας, ἐπὶ κέρως δ' ἑκατέρωθεν τὴν ἵππον δισμυρίαν οὖσαν, ἐκ δὲ

ἄλκιμος, ***-ον***: strong, stout
βάθος, ***τό***: depth
βούλομαι: to will, wish
διηγέομαι: to describe in full
δισμυρίοι, ***-α***, ***-ον***: 20,000
εἴκοσι (*indecl.*): twenty
ἑκατέρωθεν: on each side
ἐπικαλέομαι: to be called, nicknamed
ἵππος, ***ἡ***: a cavalry
καρτερῶς: staunchly, stoutly
κέρας, ***κέρως***, ***τό***: a horn, a wing of an army
μάχη, ***ἡ***: battle, fight
μέτωπον, ***τό***: the brow, forehead
ὅμοιος, ***-α***, ***-ον***: like, resembling
ὁπλίτης, ***-ου***, ***ὁ***: a heavy-armed soldier
ὁποῖος, ***-α***, ***-ον***: of what sort
πάμπολυς, ***-πόλλη***, ***-πολυ***: very many
πάσχω: to experience, suffer
πλῆθος, ***-εος***, ***τό***: a great number, multitude
προασπίζω: hold a shield before
συναραρίσκω: to join together
σωτήρ, ***-ῆρος***, ***ὁ***: a savior
τάττω: to arrange, put in order
τέτταρες, ***-ων***, ***οἱ***: four
φάλαγξ, ***-αγγος***, ***ἡ***: a battle-array
χαλκοθώραξ, ***-ακος***, ***ὁ***: a bronze-clad soldier

ἐπικληθεὶς: aor. part. pass. of ***ἐπικαλέω***, "*having been named* savior"
καὶ οὗτος: "he too" i.e. in addition to Zeuxis
παθεῖν: aor. part. of ***πάσχω*** in ind. stat. after ***λέγεται***, "he is said *to have experienced*"
πρὸς Γαλάτας: "against the Galatians" a Gaulish people who migrated to anatolia in the 3rd century BCE.
ἐγένετο: aor. of ***γίγνομαι***, "what sort of thing *happened*"
εἰδὼς: perf. part. of ***οἶδα***, "for he *knowing*"
ὄντας: pres. part. in ind. stat. after ***εἰδὼς***, "knowing *that they were*"
πλήθει: dat. of specification, "very many *in number*"
συναραρυῖαν: perf. part. of ***συν-αραρίσκω*** in ind. stat. after ***ὁρῶν***, "seeing that the battle-array *was joined together*"
ἐπὶ μετώπου: "in front" i.e. as a vanguard
προασπίζοντας: pres. part. also after ***ὁρῶν***, "seeing *that they were holding their shields before* them"
ἐς βάθος: "in depth" i.e. of ranks, as opposed to the breadth of the array
ἐπὶ τεττάρων καὶ εἴκοσι: "*twenty four rows* in depth"
τεταγμένους: perf. part. of ***τάττω***: "seeing that the hoplites *were arranged*"
ἐπὶ κέρως: "on the wing" i.e. on the flank
δισμυρίαν: acc. pred., "that the cavalry was *20,000 in number*"

τοῦ μέσου τὰ ἅρματα ἐκπηδήσεσθαι μέλλοντα δρεπανηφόρα ὀγδοήκοντα καὶ συνωρίδας ἐπ᾽ αὐτοῖς δὶς τοσαύτας, ταῦτα ὁρῶν πάνυ πονηρὰς εἶχε τὰς ἐλπίδας, ὡς ἀμάχων ὄντων ἐκείνων αὐτῷ. ἐκεῖνος γὰρ δι᾽ ὀλίγου τῆς στρατιᾶς ἐκείνης παρασκευασθείσης οὐ μεγαλωστὶ οὐδὲ κατ᾽ ἀξίαν τοῦ πολέμου ἀφίκετο κομιδῇ ὀλίγους ἄγων, καὶ τούτων πελταστικὸν τὸ πολὺ καὶ ψιλικόν: οἱ γυμνῆτες δὲ ὑπὲρ ἥμισυ τῆς στρατιᾶς

ἄγω: to lead
ἄμαχος, ***-ον***: without battle, irresistable
ἀξία, ***ἡ***: the worth, value
ἅρμα, ***-ατος***, ***τό***: a chariot
ἀφικνέομαι: to come to, arrive
γυμνής, ***-ῆτος***, ***ὁ***: a light-armed foot-soldier
δίς: twice the number
δρεπανηφόρος, ***-ον***: bearing a scythe
ἐκπηδάω: to leap out
ἐλπίς, ***-ίδος***, ***ἡ***: hope, expectation
ἥμισυ, ***τό***: a half
κομιδῇ: *(adv.)* altogether
μεγαλωστί: *(adv.)* magnificently
μέλλω: to be about to + *inf.*
μέσος, ***-η***, ***-ον***: middle, in the middle
ὀγδοήκοντα, (indecl.): eighty
ὀλίγος, ***-η***, ***-ον***: few, small
πάνυ: altogether, entirely
παρασκευάζω: to get ready, prepare
πελταστικός, ***-ή***, ***-όν***: skilled in the use of the sling
πόλεμος, ***ὁ***: battle, war
πονηρός, ***-ά***, ***-όν***: painful
στρατιά, ***ἡ***: army
συνωρίς, ***-ίδος***, ***ἡ***: two horse chariots
τοσοῦτος, ***-αύτη***, ***-οῦτο***: so many
ψιλικός, ***-ή***, ***-όν***: of a light-armed soldier

ἐκπηδήσεσθαι: fut. inf. after ***μέλλοντα***, "were about *to leap out*" i.e. ready to leap out
μέλλοντα: pres. part. also after ***ὁρῶν*** above, "seeing that the chariots *were about to*"
εἶχε: impf., "*he was having* painful expectations"
ὄντων: pres. part. gen. causal in gen. absolute, "*since those were* irresistable"
αὐτῷ: "irresistable *to him*" i.e. Antiochus
ἐκεῖνος: "for that one" i.e. Antiochus
δι᾽ ὀλίγου: sc. ***χρόνου***, "in a short (time)"
παρασκευασθείσης: aor. part. pass. in gen. abs., "that army *having been prepared*"
οὐδὲ κατ᾽ ἀξίαν: "nor valuable for" + *gen.* i.e. nor prepared for
ἀφίκετο: aor. of ***ἀπο-ικνέομαι***, "that one (Antiochus) *arrived*"
καὶ τούτων: gen. partititve, "*and of these* the majority were"
ὑπὲρ ἥμισυ: "*more than half* of the army"

ἦσαν. ὥστε ἐδόκει αὐτῷ ἤδη σπένδεσθαι καί τινα εὐπρεπῆ διάλυσιν εὑρίσκεσθαι τοῦ πολέμου.

9. Ἀλλὰ Θεοδότας ὁ Ῥόδιος, ἀνὴρ γενναῖος καὶ τακτικῶν ἔμπειρος, οὐκ εἴα παρὼν ἀθυμεῖν. καὶ ἦσαν γὰρ ἑκκαίδεκα ἐλέφαντες τῷ Ἀντιόχῳ. τούτους ἐκέλευσεν ὁ Θεοδότας τέως μὲν ἔχειν ὡς οἷόν τε κατακρύψαντα, ὡς μὴ κατάδηλοι εἶεν ὑπερφαινόμενοι τοῦ στρατοῦ, ἐπειδὰν δὲ σημήνῃ ὁ σαλπιγκτὴς καὶ δέῃ συμπλέκεσθαι καὶ εἰς χεῖρας ἰέναι

ἀθυμέω: to be disheartened, lose heart
γενναῖος, **-α**, **-ον**: noble
δεῖ: it is necessary + *inf.*
διάλυσις, **-εως**, **ἡ**: a solution
δοκέω: to seem, to seem good to + *inf.*
ἐάω: to suffer, permit + *inf.*
ἑκκαίδεκα (indecl.): **οἱ**: sixteen
ἐλέφας, **-αντος**, **ὁ**: an elephant
ἔμπειρος, **-ον**: experienced in + *gen.*
ἐπειδάν: whenever
εὐπρεπής, **-ές**: good-looking, favorable
εὑρίσκω: to find
κατάδηλος, **-ον**: plain, visible
κατακρύπτω: to hide away, conceal
κελεύω: to command, order
οἷός τε εἰμι: to be able
πάρειμι: to be present
Ῥόδιος, **-α**, **-ον**: from Rhodes
σαλπιγκτής, **-οῦ**, **ὁ**: a trumpeter
σημαίνω: to signal, indicate
σπένδομαι: to make peace (with a libation)
στρατός, **ὁ**: an army
συμπλέκω: to join together
τακτικός, **-ή**, **-όν**: tactical
τέως: so long
ὑπερφαίνομαι: to appear above
χείρ, **χεῖρος**, **ἡ**: the hand
ὥστε: and so

εὐπρεπῆ διάλυσιν: i.e. an honorable way out
εἴα: impf. of **ἐάω**, "he would not allow" + *inf.*
τέως μὲν ... ὡς οἷόν τε: "as long as possible"
ἔχειν: pres. inf. after **ἐκέλευσεν**, "ordered (Antiochus) *to hold* them" i.e. the elephants
κατακρύψαντα: aor. part. agreeing with the subject of **ἔχειν** and expressing purpose, "*in order to hide* them"
ὡς μὴ ... εἶεν: pres. opt. in negative purpose clause, "*in order that they not be* visible"
ἐπειδὰν δὲ: corresponding to **τέως μὲν** above, "but whenever"
σημήνῃ: aor. subj. of **σημαίνω** in general temporal clause, "whenever *he signals*"
δέῃ: pres. subj. of **δεῖ** also with **ἐπειδάν**, "and whenever it is necessary to" + *inf.*
συμπλέκεσθαι: pres. inf. pass. after **δέῃ**, "necessary *to be joined together*" i.e. in battle
εἰς χεῖρας: "to go *hand to hand*"

καὶ ἡ ἵππος ἡ τῶν πολεμίων ἐπελαύνηται καὶ τὰ ἅρματα οἱ Γαλάται ἀνοίξαντες τὴν φάλαγγα καὶ διαστήσαντες ἐπαφῶσι, τότε ἀνὰ τέτταρας μὲν τῶν ἐλεφάντων ἀπαντᾶν ἐφ' ἑκάτερα τοῖς ἱππεῦσιν, τοὺς ὀκτὼ δὲ ἀντεπαφεῖναι τοῖς ἁρματηλάταις καὶ συνωριασταῖς. «εἰ γὰρ τοῦτο γένοιτο, φοβηθήσονται αὐτῶν,» ἔφη, «οἱ ἵπποι καὶ ἐς τοὺς Γαλάτας αὖθις ἐμπεσοῦνται φεύγοντες.» καὶ οὕτως ἐγένετο.

ἀνοίγνυμι: to open
ἀντεπαφίημι: to release against
ἀπαντάω: to go to meet
ἅρμα, ***-ατος***, ***τό***: a chariot
ἁρματηλάτης, ***-ου***, ***ὁ***: a charioteer
αὖθις: back, back again
γίγνομαι: to happen
διίστημι: to cause to stand apart, separate
ἑκάτερος: each of two
ἐμπίμπτω: fall upon
ἐπαφίημι: to discharge at
ἐπελαύνω: to drive upon, charge
ἱππεύς, ***-ῆος***, ***ὁ***: a horseman
ἵππος, ***ἡ***: a cavalry
ἵππος, ***ὁ***: a horse
ὀκτώ, *indecl.*, ***οἱ***: eight
συνωριαστής, ***-οῦ***, ***ὁ***: the driver of a two-horse chariot
τέτταρες, ***-ων***, ***οἱ***: four
τότε: at that time, then
φάλαγξ, ***-αγγος***, ***ἡ***: a line of battle, rank
φεύγω: to flee, run away
φημί: to declare, make known
φοβέω: to put to flight

ἐπελαύνηται: pres. subj. also after ***ἐπειδὰν***, "whenever the calvary *charges*"

ἀνοίξαντες: aor. part. of ***ἀνοίγνυμι***, "*having opened* the ranks" i.e. making way for the chariots

διαστήσαντες: aor. part. trans. of ***δια-ίστημι***, "and *having separated* them"

ἐπαφῶσι: aor. subj. of ***ἐπι-απο-ίημι*** also after ***ἐπειδὰν***, "whenever *they discharge* the chariots"

ἀνὰ τέτταρας: "in groups of four"

ἀπαντᾶν: pres. inf. also after ***ἐκέλευσεν***, "he ordered *to go out to meet*"

ἐφ' ἑκάτερα: "against each (side)" i.e. each flank

τοὺς ὀκτὼ δὲ: "but the eight remaining"

ἀντεπαφεῖναι: aor. inf. of ***ἀντε-ἐπι-ἀπο-ίημι***, "(he ordered) *to release against*" + *dat.*

γένοιτο: aor. opt. in fut. less vivid protasis, "for if this *should happen*"

φοβηθήσονται: fut. pass. of ***φοβέω*** in future more vivid apodosis, "their horses *will (most likely) be put to flight*"

ἐμπεσοῦνται: fut. of ***ἐμ-πίπτω***, "and fleeing *they will fall upon* the Galatians"

10. Οὐ γὰρ πρότερον ἰδόντες ἐλέφαντα οὔτε αὐτοὶ Γαλάται οὔτε οἱ ἵπποι αὐτῶν οὕτω πρὸς τὸ παράδοξον τῆς ὄψεως ἐταράχθησαν, ὥστε πόρρω ἔτι τῶν θηρίων ὄντων ἐπεὶ μόνον τετριγότων ἤκουσαν καὶ τοὺς ὀδόντας εἶδον ἀποστίλβοντας ἐπισημότερον ὡς ἂν ἐκ μέλανος τοῦ παντὸς σώματος καὶ τὰς προνομαίας ὡς ἐς ἁρπαγὴν ὑπεραιωρουμένας, πρὶν ἢ τὸ τόξευμα ἐξικνεῖσθαι, ἐκκλίναντες σὺν οὐδενὶ κόσμῳ ἔφευγον, οἱ μὲν πεζοὶ περιπειρόμενοι ὑπ' ἀλλήλων τοῖς δορατίοις καὶ

ἀκούω: to hear
ἀποστίλβω: to be bright, glisten
ἁρπαγή, ***ἡ***: seizure, rapine
δοράτιον, ***τό***: a short spear
εἶδον: to see *(aor.)*
ἐκκλίνω: to turn away, give ground
ἐξικνέομαι: to reach, arrive at
ἐπισημότερος, ***-ον***: more notable
θηρίον, ***τό***: a wild animal, beast
κόσμος, ***ὁ***: order
μέλας, ***μέλαινα***, ***μέλαν***: black
μόνος, ***-η***, ***-ον***: only
ὀδούς, ***-όντος***, ***ὁ***: tooth, tusk (*of an elephant*)
ὄψις, ***ὄψεως***, ***ἡ***: appearance, sight
παράδοξος, ***-ον***: incredible, paradoxical
πεζός, ***ο***: a foot-soldier
περιπείρω: to pierce, stab
πόρρω: further, far away
πρίν: before + *inf.*
προνομαία, ***ἡ***: proboscis, trunk (*of an elephant*)
πρότερος, ***-α***, ***-ον***: prior
ταράττω: to stir, trouble
τόξευμα, ***-ατος***, ***τό***: an arrow
τρίζω: to utter a shrill cry, to scream, cry
ὑπεραιωρέω: suspend above
φεύγω: to flee, take flight

ἰδόντες: aor. part. of ***εἶδον***, "for not *having seen*"
αὐτοὶ: intensive use, *"the Galatians themselves"*
ἐταράχθησαν: aor. pass. of ***ταράττω***, "they were thrown into confusion"
πόρρω ἔτι: "being *still far away*"
ὄντων: pres. part. gen. abs., "while the beasts *being* far away"
τετριγότων: pref. part. attributive gen. after ***ἤκουσαν***, "they heard *them crying out*"
ἀποστίλβοντας: pres. part. circum., "saw the tusks *glistening*"
ἐπισημότερον: acc. adverbial, "more brightly"
ὡς ἂν: introducing a causal clause with a potential optative (***εἴεν***) to be supplied suggesting a possible cause, "*since they* (would be) from a completely black body" i.e. in contrast to the white tusks
ὡς ἐς ἁρπαγὴν: "as though for seizure" i.e. poised to seize something
ὑπεραιωρουμένας: pres. part. circum. after ***εἶδον***, "they saw the trunks *suspended*"
ἐξικνεῖσθαι: pres. inf. after ***πρὶν ἢ***, "before an arrow *arrived*" i.e. before getting close enough to shoot
περιπειρόμενοι ... συμπατούμενοι: pres. part. pass., "being stabbed ... being trampled"
ὑπ' ἀλλήλων: gen., "trampled *by one another*"

συμπατούμενοι ὑπὸ τῶν ἱππέων ὡς εἶχον ἐμπεσόντων ἐπ' αὐτούς, τὰ ἅρματα δέ, ἀναστρέψαντα καὶ ταῦτα ἔμπαλιν εἰς τοὺς οἰκείους, οὐκ ἀναιμωτὶ διεφέρετο ἐν αὐτοῖς, ἀλλὰ τὸ τοῦ Ὁμήρου, «δίφροι δ' ἀνεκυμβαλίαζον.» οἱ ἵπποι δ' ἐπείπερ ἅπαξ τῆς ἐς τὸ εὐθὺ ὁδοῦ ἀπετρέποντο οὐκ ἀνασχόμενοι τῶν ἐλεφάντων, τοὺς ἐπιβάτας ἀποβαλόντες «κείν' ὄχεα κροτάλιζον» τέμνοντες νὴ Δία καὶ διαιροῦντες τοῖς δρεπάνοις εἴ τινας τῶν φίλων καταλάβοιεν. πολλοὶ δὲ ὡς ἐν ταράχῳ

ἀναιμωτί: *(adv.)* without shedding blood
ἀνακυμβαλιάζω: to fall over rattling
ἀναστρέφω: to upset, turn back
ἀνέχομαι: to hold up, endure
ἅπαξ: (*adv.*) once
ἀποβάλλω: to throw off
ἀποτρέπω: to turn
ἅρμα, **-ατος**, **τό**: a chariot
διαιρέω: to cleave in two
διαφέρω: to carry through
δίφρος, **ὁ**: chariot-board, where two people could stand
δρέπανον, **τό**: a scythe
ἔμπαλιν: backwards, back
ἐμπίπτω: fall upon
ἐπείπερ: seeing that, after
ἐπιβάτης, **-ου**, **ὁ**: a charioteer
εὐθύς, **-εῖα**, **-ύ**: straight
ἱππεύς, **-ῆος**, **ὁ**: a horseman
καταλαμβάνω: to seize upon, encounter
κεῖνος, **-η**, **-ον**: empty
κροταλίζω: to rattle
ὁδός: a way, path, track, road, highway
οἰκεῖος, **-α**, **-ον**: one's own
Ὅμηρος, **ὁ**: Homer;
ὄχος, **ὁ**: a chariot
συμπατέω: to trample under foot
τάραχος, **ὁ**: disorder
τέμνω: to cut, hew
φίλος, **ὁ**: a friend

ὡς εἶχον: impf. of **ἔχω**, "as they were"
ἐμπεσόντων: aor. part. agreeing with **ἱππέων**, "by the cavalry *having fallen upon* them"
ἀναστρέψαντα: aor. part. neut. pl., "the chariots *having been turned back*"
καὶ ταῦτα: "these too" i.e. the chariots
διεφέρετο: impf. pass., "were carried through"
δίφροι δ' ἀνεκυμβαλίαζον: *Iliad* 16, 379
ἐς τὸ εὐθὺ: "turned from the path *towards the straight,*" i.e from the straight path
ἀπετρέποντο: impf. mid., "once *they turned themselves*"
ἀνασχόμενοι: aor. part. mid. of **ἀνα-έχω**, "not enduring" + *gen.*
ἀποβαλόντες: aor. part. of **ἀπο-βάλλω**, "*having thrown off* the charioteers"
κείν' ὄχεα κροτάλιζον: *Iliad* 11, 160, "empty chariots rattled on"
καταλάβοιεν: pres. opt. **κατα-λαμβάνω** in past general protasis, "if (ever) they encountered"

τοσούτῳ κατελαμβάνοντο. εἴποντο δὲ καὶ οἱ ἐλέφαντες συμπατοῦντες καὶ ἀναρριπτοῦντες ταῖς προνομαίαις ἐς ὕψος καὶ συναρπάζοντες καὶ τοῖς ὀδοῦσι περιπείροντες, καὶ τέλος οὗτοι κατὰ κράτος παραδιδόασι τῷ Ἀντιόχῳ τὴν νίκην.

11. Οἱ Γαλάται δὲ οἱ μὲν ἐτεθνήκεσαν, πολλοῦ τοῦ φόνου γενομένου, οἱ δὲ ζῶντες ἐλαμβάνοντο, πλὴν πάνυ ὀλίγοι ὁπόσοι ἔφθασαν εἰς τὰ ὄρη ἀναφυγόντες, οἱ Μακεδόνες δὲ ὅσοι σὺν Ἀντιόχῳ ἦσαν, ἐπαιώνιζον καὶ προσιόντες ἄλλος ἀλλαχόθεν ἀνέδουν τὸν βασιλέα καλλίνικον ἀναβοῶντες.

ἀλλαχόθεν: from another place
ἀναβοάω: to shout aloud, utter a loud cry
ἀναδέω: to bind up, crown
ἀναρρίπτω: to throw up
ἀναφεύγω: to flee up
βασιλεύς, **-έως**, **ὁ**: a king, chief
ἕπομαι: to follow
ζάω: to live
θνήσκω: to die
καλλίνικος, **-ον**: with glorious victory
κράτος, **-εος**, **τό**: strength, might
λαμβάνω: to take, capture
Μακεδών, **-δόνος**, **ὁ**: a Macedonian
νίκη, **ἡ**: victory in battle
ὀδούς, **-όντος**, **ὁ**: tooth
ὀλίγος, **-η**, **-ον**: few
ὁπόσος: as many as
ὄρος, **-εος**: a mountain, hill
ὅσος, **-η**, **-ον**: as many as
παιωνίζω: to chant the paean of triumph
πάνυ: very
παραδίδωμι: to hand over to + *dat*
περιπείρω: to pierce, stab
πλήν: except
προνομαία, **ἡ**: trunk
πρόσειμι: to go *(fut.)*
συμπατέω: to trample under foot
συναρπάζω: to seize and carry away
τέλος: finally
τοσοῦτος, **-αύτη**, **-οῦτο**: so large, so tall
ὕψος, **-εος**, **τό**: height
φθάνω: to do first + *part.*
φόνος, **ὁ**: slaughter

κατελαμβάνοντο: impf. pass., "many *were caught* in the confusion"
ταῖς προνομαίαις: dat. instrumental, "throwing up *with their trunks*"
κατὰ κράτος: "with all their strength"
ἐτεθνήκεσαν: plupf. of **θνήσκω**, "some *had died*"
γενομένου: aor. part. of **γίγνομαι** in gen. abs., "slaughter *having happened*"
ἔφθασαν: aor. of **φθάνω** with supplementary participle **ἀναφυγόντες**, "as many as *managed to* flee *first*"
ἀναφυγόντες: aor. part. supplementing **ἔφθασαν**, "as many as managed *to flee* first"
προσιόντες: pres. part. of **προσ-εἶμι**, "the Macedonians *advancing*"
ἄλλος ἀλλαχόθεν: "from here, from there"
καλλίνικον: acc. pred., "they were crowning him *with glorious victory*" i.e. an epithet

ὁ δὲ καὶ δακρύσας, ὥς φασιν, «Αἰσχυνώμεθα,» ἔφη, «ὦ στρατιῶται, οἷς γε ἡ σωτηρία ἐν ἑκκαίδεκα τούτοις θηρίοις ἐγένετο: ὡς εἰ μὴ τὸ καινὸν τοῦ θεάματος ἐξέπληξε τοὺς πολεμίους, τί ἂν ἡμεῖς ἦμεν πρὸς αὐτούς;» ἔπι τε τῷ τροπαίῳ κελεύει ἄλλο μηδέν, ἐλέφαντα δὲ μόνον ἐγκολάψαι.

12. Ὥρα τοίνυν με σκοπεῖν μὴ καὶ τοὐμὸν ὅμοιον ᾖ τῷ Ἀντιόχῳ τὰ μὲν ἄλλα οὐκ ἄξιον μάχης, ἐλέφαντες δέ τινες καὶ ξένα μορμολύκεια πρὸς τοὺς ὁρῶντας καὶ θαυματοποιία

αἰσχύνομαι: to be ashamed
ἄξιος, ***-ία***, ***-ον***: valuable for + *gen.*
δακρύω: to weep, shed tears
ἐγκολάπτω: to cut or carve upon
ἑκκαίδεκα (*indecl.*), ***οἱ***: sixteen
ἐκπλήττω: to amaze, dismay
θαυματοποιία, ***ἡ***: conjuring, juggling
θέαμα, ***-ατος***, ***τό***: a sight, spectacle
θηρίον, ***τό***: a wild animal, beast
καινός, ***-ή***, ***-όν***: new, fresh
κελεύω: to command, order
μάχη, ***ἡ***: war, combat
μορμολυκεῖον, ***τό***: a hobgoblin
ξένος, ***-η***, ***-ον***: foreign, exotic
ὅμοιος, ***-α***, ***-ον***: like, resembling
πολέμιοι, ***οἱ***: the enemy
σκοπέω: to look at, examine
στρατιώτης, ***-ου***: a soldier
σωτηρία, ***ἡ***: a deliverance
τοίνυν: therefore, accordingly
τρόπαιον, ***τό***: a trophy
φημί: to declare, make known
ὥρα, ***ἡ***: the hour, the time

ὁ δὲ: "but he" i.e. Antiochus
ὥς φασιν: "as they say" i.e. as accounts tell
αἰσχυνώμεθα: pres. subj. in jussive, "let us be ashamed!"
ἐγένετο: aor., "for whom deliverance *was*"
εἰ μὴ ... ἐξέπληξε: aor. in past contrafactual protasis, "if it had not dismayed"
τί ἂν ... ἦμεν: impf. in present contrafactual apodosis, "(then) what would we be?"
πρὸς αὐτούς: "(compared) *to them*"
ἄλλο μηδέν: "*nothing else* on the trophy"
ἐγκολάψαι: aor. inf. in ind. com., "he ordered them *to carve upon* the trophy"
σκοπεῖν: pres. inf. epexegetic after **ὥρα**, 'it is the time *to examine*"
μὴ ... ᾖ: present subj. in noun clause after **σκοπεῖν** with the idea of caution, "examine *whether it is*"
τοὐμὸν (=τό ἐμὸν) ὅμοιον: subject and predicate nom., "whether *mine* is *similar to*" + *dat.*
τὰ μὲν ἄλλα: acc. of respect, "while in other respects"
πρὸς τοὺς ὁρῶντας: pres. part. attributive, "for those viewing" i.e. the audience

ἄλλως: ἐκεῖνα γοῦν ἐπαινοῦσι πάντες. οἷς δὲ ἐγὼ ἐπεποίθειν, οὐ πάνυ ταῦτα ἐν λόγῳ παρ' αὐτοῖς ἐστιν, ἀλλ' ὅτι μὲν θήλεια Ἱπποκένταυρος γεγραμμένη, τοῦτο μόνον ἐκπλήττονται καὶ ὥσπερ ἐστί, καινὸν καὶ τεράστιον δοκεῖ αὐτοῖς. τὰ δὲ ἄλλα μάτην ἄρα τῷ Ζεύξιδι πεποίηται; ἀλλ' οὐ μάτην – γραφικοὶ γὰρ ὑμεῖς καὶ μετὰ τέχνης ἕκαστα ὁρᾶτε. εἴη μόνον ἄξια τοῦ θεάτρου δεικνύειν.

γραφικός, ***-η***, ***-ον***: skilled in painting
γράφω: to paint
δείκνυμι: to bring to light, display, exhibit
δοκέω: to seem to + *dat.*
ἕκαστος, ***-η***, ***-ον***: every one, each one
ἐκπλήττω: to amaze, astound
ἐπαινέω: to applaud, praise
θέατρον, ***τό***: a theater
θῆλυς, ***θήλεια***, ***θῆλυ***: female
καινός, ***-ή***, ***-όν***: new, fresh
μάτην: in vain, idly, fruitlessly
μόνος, ***-η***, ***-ον***: alone
ὁράω: to see, view
πάνυ: altogether, entirely
πείθω: to persuade, rely on
τεράστιος, ***-ον***: monstrous

ἄλλως: corresponding to ***τὰ μὲν ἄλλα*** above, "but otherwise" i.e. in other respects
ἐπεποίθειν: plupf. of ***πείθω***, "those things on which *I had relied*"
ἐν λόγῳ: "are not *in the account*" i.e. do not matter
γεγραμμένη (sc. ***ἐστιν***): perf. part. pass. of ***γράφω*** in periphrastic causal clause, "but rather because a centaur *was painted*"
καὶ ὥσπερ ἐστί: parenthetical, "even as it is" i.e. it was indeed new
τῷ Ζεύξιδι: dat. of agent, "made *by Zeuxis*"
πεποίηται: perf., "*was it made* in vain?"
καὶ μετὰ τέχνης: "each thing *together with the art*"
εἴη: pres. opt. in wish for the future, "*would that (this speech) be* worthy"
τοῦ θεάτρου: gen. after ***ἄξια***, "worthy *of the theater*" i.e. of the audience
δεικνύειν: pres. inf. also after ***ἄξια***, "worthy *to display*"

Λουκιανου
Διονθσος

Lucian's
Dionysus

ΔΙΟΝΥΣΟΣ

1. ***Ὅτε ὁ Διόνυσος ἐπ᾽ Ἰνδοὺς στρατιὰν ἤλασε—κωλύει γὰρ οὐδέν, οἶμαι, καὶ μῦθον ὑμῖν διηγήσασθαι Βακχικόν—φασὶν οὕτω καταφρονῆσαι αὐτοῦ τὰ πρῶτα τοὺς ἀνθρώπους τοὺς ἐκεῖ, ὥστε καταγελᾶν ἐπιόντος, μᾶλλον δὲ ἐλεεῖν τὴν τόλμαν αὐτίκα μάλα συμπατηθησομένου ὑπὸ τῶν ἐλεφάντων, εἰ ἀντιτάξαιτο: ἤκουον γάρ, οἶμαι, τῶν σκοπῶν ἀλλόκοτα***

ἀκούω: to hear
ἀλλόκοτος, ***-ον***: of unusual form, strange
ἀντιτάττω: to oppose in battle
αὐτίκα: forthwith, straightway, at once
Βακχικός, ***-η***, ***-ον***: Bacchic
διηγέομαι: to describe in full, narrate
Διόνυσος, ***ὁ***: Dionysus
ἐλαύνω: to drive, drive on, set in motion
ἐλεέω: to have pity on
ἐλέφας, ***-αντος***, ***ὁ***: the elephant
ἔπειμι: to approach (*fut.*)
Ἰνδός, ***ὁ***: an Indian
καταγελάω: to laugh at, mock at + *gen.*
καταφρονέω: to think down upon + *gen.*
κωλύω: to hinder, check, prevent
μάλα: very, very much
μᾶλλον: rather
μῦθος, ***ὁ***: word, story
οἶμαι: to suppose, think, deem, imagine
οὐδείς, ***-μία***, ***-ἕν***: not one, nothing
πρῶτος, ***-η***, ***-ον***: first
σκοπός, ***ὁ***: a lookout
στρατιά, ***ἡ***: army
συμπατέω: to trample under foot
τόλμα, ***-ης***, ***ἡ***: courage, rashness

ἤλασε: aor. of ***ἐλαύνω***, "when *he drove*"
διηγήσασθαι: aor. inf. after ***κωλύει***, "nothing prevents us *from narrating*"
οὕτω ... ὥστε: correlative particles, "so much ... with the result that"
καταφρονῆσαι: aor. inf. in ind. stat. after ***φασὶν***, "they say that the men *despised* him"
τὰ πρῶτα: adverbial acc., "at first"
τοὺς ἐκεῖ: acc. atributive phrase, "the men *there*" i.e. the Indians
καταγελᾶν: pres. inf. in result clause, "so that they were mocking" + *gen.*
ἐπιόντος: pres. part. gen. of ***ἐπι-εἶμι***, "mocking *him approaching*"
ἐλεεῖν: pres. inf. also in result clause, "or rather *were pitying*"
συμπατηθησομένου: fut. pass. part. gen., "rashness *of the one about to be trampled,*" also serving as a "most vivid" apodosis to the following conditional phrase, which would have been "then he will most certainly be trampled"
εἰ ἀντιτάξαιτο: aor. opt. in future less vivid protasis, "if he were to oppose in battle"

ὑπὲρ τῆς στρατιᾶς αὐτοῦ ἀγγελλόντων, ὡς ἡ μὲν φάλαγξ αὐτῷ καὶ οἱ λόχοι γυναῖκες εἶεν ἔκφρονες καὶ μεμηνυῖαι, κιττῷ ἐστεμμέναι, νεβρίδας ἐνημμέναι, δοράτια μικρὰ ἔχουσαι ἀσίδηρα, κιττοποίητα καὶ ταῦτα, καί τινα πελτάρια κοῦφα, βομβοῦντα, εἴ τις μόνον προσάψαιτο--ἀσπίσι γὰρ εἴκαζον, οἶμαι, τὰ τύμπανα--ὀλίγους δέ τινας ἀγροίκους νεανίσκους ἐνεῖναι, γυμνούς, κόρδακα ὀρχουμένους, οὐρὰς ἔχοντας,

---

ἀγγέλλω: to bear a message
ἄγροικος, ***-ον***: of the country, rustic
ἀσίδηρος, ***-ον***: not of iron
ἀσπίς, ***-ιδος***, ***ἡ***: a shield
βομβέω: to make a humming noise, to sound deep or hollow
γυμνός, ***-ή***, ***-όν***: naked, unclad
γυνή, ***-αικός***, ***ἡ***: a woman
δοράτιον, ***τό***: a small spear
εἰκάζω: to liken X *(acc.)* to Y *(dat.)*
ἔκφρων, ***-ον***: out of one's mind, senseless
ἐνάπτω: to bind on or to
ἔνειμι: to be in, be among
κιττοποίητος, ***-ον***: made of ivy
κιττός, ***ὁ***: ivy
κόρδαξ, ***-ακος***, ***ὁ***: the cordax, a dance of old comedy
κοῦφος, ***-η***, ***-ον***: light, nimble
λόχος, ***ὁ***: a body of troops
μαίνομαι: to rage, be furious
μικρός, ***-ά***, ***-όν***: small, little
μόνος, ***-η***, ***-ον***: alone
νεάνισκος, ***ὁ***: youth, young man
νεβρίς, ***-ίδος***, ***ἡ***: a fawnskin
ὀλίγος, ***-η***, ***-ον***: few, little, scanty, small
ὀρχέομαι: to dance in a row
οὐρά, ***ἡ***: the tail
πελτάριον, ***τό***: a small shield
προσάπτω: to fasten, attach
στέφω: to put round, wrap
στρατιά, ***ἡ***: a host, band
τύμπανον, ***τό***: a kettledrum
φάλαγξ, ***-αγγος***, ***ἡ***: a line of battle, phalanx

ἀγγελλόντων: pres. part. gen. abs., "the spies *reporting*"

ὡς ... εἶεν: pres. opt. in ind. stat. after ***ἤκουον*** indicating an alleged statement, "they heard *that they were* (so the lookouts reported)"

γυναῖκες: nom. pred., "his phalanx and bands were *women*"

μεμηνυῖαι: perf. part. act. nom., "senseless and *having become maddened*"

ἐστεμμέναι: perf. part. pass. nom. of ***στέφω***, "having been wrapped"

ἐνημμέναι: perf. part. mid. nom. of ***ἐν-άπτω***, "having bound on (themselves)"

δοράτια ἀσίδηρα: neut. pl. acc., "small spears not of iron" i.e. the *thyrsus* wielded by the followers of Dionysus

καὶ ταῦτα: "*these too* made of ivy" i.e. the **δοράτια**

βομβοῦντα: pres. part. neut. acc. pl., representing the apodosis of a present general condition, "shields *making a humming sound*, if..."

προσάψαιτο: aor. opt. in present general protasis, "if someone only touches"

ὀλίγους ... ἐνεῖναι: note the change to the acc. + *inf.* form of ind. stat., "(they heard) th*at a few* youths *were among them*"

κεράστας, οἷα τοῖς ἄρτι γεννηθεῖσιν ἐρίφοις ὑποφύεται.

2. καὶ τὸν μὲν στρατηλάτην αὐτὸν ἐφ' ἅρματος ὀχεῖσθαι παρδάλεων ὑπεζευγμένων, ἀγένειον ἀκριβῶς, οὐδ' ἐπ' ὀλίγον τὴν παρειὰν χνοῶντα, κερασφόρον, βοτρύοις ἐστεφανωμένον, μίτρᾳ τὴν κόμην ἀναδεδεμένον, ἐν πορφυρίδι καὶ χρυσῇ ἐμβάδι: ὑποστρατηγεῖν δὲ δύο, ἕνα μέν τινα βραχύν, πρεσβύτην, ὑπόπαχυν, προγάστορα, ῥινόσιμον, ὦτα μεγάλα ὄρθια ἔχοντα,

---

ἀγένειος, **-ον**: beardless
ἀκριβῶς: precisely, to a nicety
ἀναδέω: to bind up:
ἅρμα, **-ατος**, **τό**: a chariot
ἄρτι: just now
βότρυον, **τό**: cluster of grapes
βραχύς, **-εῖα**, **-ύ**: short
γεννάω: to beget, engender
δύο: two
ἐμβάς, **-άδος**, **ἡ**: a felt-shoe
ἔριφος, **ὁ**: a young goat, kid
κεράστης, **-ου**, **ὁ**: a horned one
κερασφόρος, **-ον**: horn-bearing
κόμη, **ἡ**: the hair, hair of the head
μίτρα: a fillet, headband
ὀλίγος, **-η**, **-ον**: few, little, scanty, small
ὄρθιος, **-α**, **-ον**: pointing upwards
οὖς, **ὠτός**, **τό**: the ear
ὀχέομαι: to be carried
πάρδαλις, **-εως**, **ἡ**: the leopard
παρειά, **ἡ**: the cheek
πορφυρίς, **-ίδος**, **ἡ**: a purple garment
πρεσβύτης, **-ου**, **ὁ**: an old man
προγάστωρ, **-ορος**, **ὁ**: having a fat-paunch
ῥινόσιμος, **-ον**: snub-nosed
στεφανόω: to be put round
στρατηλάτης, **ὁ**: a leader of an army
ὑποζεύγνυμι: to yoke under, put under the yoke
ὑπόπαχυς, **-εῖα**, **-ύ**: somewhat stout
ὑποστρατηγέω: to serve as lieutenant
ὑποφύω: to make to grow up
χνοάω: to get the first down
χρύσεος, **-ῆ**, **-οῦν**: golden

οἷα: neut. pl. nom. agreeing in sense with the idea of horns (**κέρατα**) implicit in the word **κεράστας**, "horned (with horns) *such as*"

γεννηθεῖσιν: aor. pass. part. dat. attributive, "such as grow on newly *born* goats"

τὸν στρατηλάτην: continuing ind. stat., "and that *the leader* himself" i.e. Dionysus

ὑπεζευγμένων: perf. part. in gen. abs., "leopards having been yoked"

οὐδ' ἐπ' ὀλίγον: "not even a little"

τὴν παρειὰν: internal acc. with circumstantial part. **χνοῶντα**, "getting first down *on his cheek*"

ἐστεφανωμένον: perf. part. pass., "having been crowned"

ἀναδεδεμένον: perf. part. mid., "*having bound* his hair"

ὑποστραταγεῖν δὲ δύο: continuing ind. stat., "and that there were two lieutenants" these are Silenus and Pan, now described as they were perceived by the Indians

ἕνα μὲν ... ἕτερον δὲ: acc. explaining **δύο**, "that the first ... that the second"

ὑπότρομον, νάρθηκι ἐπερειδόμενον, ἐπ' ὄνου τὰ πολλὰ ἱππεύοντα, ἐν κροκωτῷ καὶ τοῦτον, πάνυ πιθανόν τινα συνταγματάρχην αὐτοῦ, ἕτερον δὲ τεράστιον ἄνθρωπον, τράγῳ τὰ νέρθεν ἐοικότα, κομήτην τὰ σκέλη, κέρατα ἔχοντα, βαθυπώγωνα, ὀργίλον καὶ θυμικόν, θατέρᾳ μὲν σύριγγα φέροντα, τῇ δεξιᾷ δὲ ῥάβδον καμπύλην ἐπηρμένον καὶ περισκιρτῶντα ὅλον τὸ στρατόπεδον, καὶ τὰ γύναια δὲ φοβεῖσθαι αὐτὸν καὶ σείειν ἠνεμωμένας τὰς κόμας, ὁπότε προσίοι, καὶ βοᾶν «εὐοῖ»:

ἀνεμόομαι: to be filled with wind, be blown
βαθυπώγων, ***-ον***: with a long beard
βοάω: to cry aloud, to shout
γύναιος, ***-α***, ***-ον***: womanish
δεξιά, ***ἡ***: the right hand
ἔοικα: to seem (*perf.*)
ἐπαίρω: to lift up and set on
ἐπερείδω: to lean upon + *dat*.
εὐοῖ: Evoe, the bacchic cry
θυμικός, ***-ή***, ***-όν***: high-spirited, passionate
ἱππεύω: to ride a horse
καμπύλος, ***-η***, ***-ον***: bent, crooked, curved
κέρας, ***τό***: the horn of an animal
κόμη, ***ἡ***: the hair, hair of the head
κομήτης, ***-ου***, ***ὁ***: long-haired
κροκωτός, ***-ή***, ***-όν***: saffron-coloured
νάρθηξ, ***-ηκος***, ***ὁ***: the Bacchanalian wands
νέρθεν: below, nether
ὅλος, ***-η***, ***-ον***: whole, entire
ὄνος, ***ὁ***: an ass
ὀργίλος, ***-η***, ***-ον***: irascible
πάνυ: altogether, entirely
περισκιρτάω: to leap round
πιθανός, ***-ή***, ***-όν***: persuasive, plausible
ῥάβδος, ***ἡ***: a rod, wand
σείω: to shake, move to and fro
σκέλος, ***-εος***, ***τό***: the leg
στρατόπεδον, ***τό***: a camp, encampment
συνταγματάρχης, ***-ου***, ***ὁ***: the leader of a ***σύνταγμα***
σῦριγξ, ***-ιγγος***, ***ἡ***: a pipe
τεράστιος, ***-ον***: monstrous
τράγος, ***ὁ***: a he-goat
ὑπότρομος, ***-ον***: somewhat afraid or timid
φέρω: to bear
φοβέω: to put to flight

τὰ πολλὰ: acc. adverbial, "for the most part"
συνταγματάρχην: acc. pred., "plausible (to be) *the leader of a squadron*" (ironic)
τὰ νέρθεν: acc. of respect, "like a goat *in his nether parts*"
ἐοικότα: perf. part. acc. s., with present sense, "*being like* him"
θατέρᾳ (=***τῇ ἑτέρᾳ***): dat., "in one hand"
ἐπηρμένον: perf. part. mid. of ***ἐπι-αἴρω***, "having raised up"
αὐτὸν: acc. subj. of inf. in ind. stat., "*that he* was scaring the women"
φοβεῖσθαι : pres. inf. in ind. stat. representing impf. indicative in the original report, "(hearing) that he *was scaring*"
σείειν ... βοᾶν: pres. inf in ind. stat., "(hearing) that they (the women) were shaking ... that they were shouting" referring to the behaviour of Maenads
ἠνεμωμένας: perf. part. circumstantial, "shaking the hair *that was blown around*"
ὁπότε προσίοι: pres. opt. of ***προσ-εἶμι*** in general temporal clause,"whenever he may approach"

τοῦτο δ' εἰκάζειν καλεῖσθαι αὐτῶν τὸν δεσπότην. τὰς δ' οὖν ποίμνας διηρπάσθαι ἤδη ὑπὸ τῶν γυναικῶν καὶ διεσπάσθαι ἔτι ζῶντα τὰ θρέμματα: ὠμοφάγους γάρ τινας αὐτὰς εἶναι.

3. Ταῦτα οἱ Ἰνδοὶ καὶ ὁ βασιλεὺς αὐτῶν ἀκούοντες ἐγέλων, ὡς τὸ εἰκός, καὶ οὐδ' ἀντεπεξάγειν ἢ παρατάττεσθαι ἠξίουν, ἀλλ' εἴπερ ἄρα, τὰς γυναῖκας ἐπαφήσειν αὐτοῖς, εἰ πλησίον γένοιντο, σφίσι δὲ καὶ νικᾶν αἰσχρὸν ἐδόκει καὶ φονεύειν

αἰσχρός, ***-ά***, ***-όν***: causing shame, shameful
ἀκούω: to hear
ἀντεπεξάγω: to go out against
ἀξιόω: to think or deem worthy of + *inf.*
βασιλεύς, ***-έως***, ***ὁ***: a king, chief
γελάω: to laugh
γυνή, ***γυναικός***, ***ἡ***: a woman
δεσπότης, ***-ου***: a master, lord
διαρπάζω: to tear in pieces
διασπάω: to tear asunder
εἰκάζω: to suppose
εἰκός, ***-ότος***, ***τό***: like truth, reasonable
ἐπαφίημι: to discharge X (*acc.*) at Y (*dat.*)
ζάω: to live
θρέμμα, ***-ατος***, ***τό***: a nursling, creature
καλέω: to call, name
νικάω: to conquer, prevail, vanquish
παρατάττω: to draw up in battle-order
πλησίον: closer
ποίμνη, ***ἡ***: a flock
σφεῖς, ***σφέων***: they, them
φονεύω: to murder, kill, slay
ὠμόφαγος, ***-ον***: eating raw flesh

τοῦτο: "to be named *this*" i.e. the word ***εὐοῖ***

καλεῖσθαι: pres. inf. pass. after ***εἰκάζειν***, "suppose the leader *to be named* this"

εἰκάζειν: pres. inf. in ind. stat., "that they (the scouts) supposed" + *inf.*

διηρπάσθαι ... ***διεσπάσθαι***: perf. pass. inf. continuing ind. stat., "that herds *had been torn to pieces* ... that nurslings *had been torn asunder"*

ζῶντα: pres. part., "nurslings *while still living*"

ἐγέλων: impf. inceptive, "they began laughing"

ὡς τὸ εἰκός: "as seems reasonable"

ἀντεπεξάγειν: pres. inf. of ***ἀντι-ἐπι-ἐξ-άγω***, complementing ***ἠξίουν***, "deeming it worthy not *to lead out against*"

ἀλλ' εἴπερ ἄρα: parenthetical, "but if at all" i.e. if they do anything

ἐπαφήσειν: fut. inf. of ***ἐπι-ἀπο-ἵημι*** serving as the future most vivid apodosis after ***ἠξίουν***., "that they will discharge their women at" + *dat.*

γένοιντο: aor. opt. in future less vivid protasis, "if they were to become closer"

σφισι: dat. pl. of 3 person pronoun after ***ἐδόκει***, "it seemed *to them*"

νικᾶν ... ***φονεύειν***: pres. inf. after ***ἐδόκει***, "it seemed shameful *to defeat* ... *to slay*"

γύναια μεμηνότα καὶ θηλυμίτρην ἄρχοντα καὶ μεθύον σμικρὸν γερόντιον καὶ ἡμίτραγον στρατιώτην ἄλλον καὶ γυμνήτας ὀρχηστάς, πάντας γελοίους. ἐπεὶ δὲ ἤγγελτο πυρπολῶν ὁ θεὸς ἤδη τὴν χώραν καὶ πόλεις αὐτάνδρους καταφλέγων καὶ ἀνάπτων τὰς ὕλας καὶ ἐν βραχεῖ πᾶσαν τὴν Ἰνδικὴν φλογὸς ἐμπεπληκώς--ὅπλον γάρ τι Διονυσιακὸν τὸ πῦρ, πατρῷον αὐτῷ κἀκ τοῦ κεραυνοῦ--ἐνταῦθα ἤδη σπουδῇ

ἀγγέλλω: to bear a message
ἀνάπτω: to make fast to, set on fire
ἄρχων, ***-οντος***, ***ὁ***: a commander, captain
αὖτανδρος, ***-ον***: together with the men
βραχύς, ***-εῖα***, ***-ύ***: short
γέλοιος, ***-α***, ***-ον***: causing laughter, laughable
γερόντιον, ***τό***: a little old man
γυμνήτης, ***-ου***, ***ὁ***: naked
γύναιος, ***-α***, ***-ον***: womanish
Διονυσιακός, ***-ή***, ***-όν***: belonging to Dionysus
ἐμπιμπλήμι: to fill X (*acc.*) with Y (*dat.*)
ἐνταῦθα: thereupon
ἤδη: already
ἡμίτραγος, ***-ον***: half-goat
θηλυμίτρης, ***-ου***, ***ὁ***: one with a woman's head-band
καταφλέγω: to burn down
κεραυνός, ***ὁ***: thunderbolt
μαίνομαι: to rage, be crazed
μεθύω: to be drunken with wine
ὅπλον, ***τό***: weapon
ὀρχηστής, ***-οῦ***, ***ὁ***: a dancer
πατρῷος, ***-α***, ***-ον***: inherited from one's father
πόλις, ***-εως***, ***ἡ***: a city
πῦρ, ***τό***: fire
πυρπολέω: to light a fire
σμικρός, ***-ά***, ***-όν***: small, little
σπουδή, ***ἡ***: haste, speed
στρατιώτης, ***-ου***, ***ὁ***: a soldier
ὕλη, ***ἡ***: forest-trees
φλόξ, ***φλογὸς***, ***ἡ***: a flame
χώρα, ***ἡ***: the land

μεμηνότα: perf. part. of ***μαίνομαι***, "*crazed* women"

θηλυμίτρην: acc. with ***ἄρχοντα***, "a leader *who is wearing a headband*" i.e. Dionysus

μεθύον: pres. part. neut. acc., "a *drunken* old man" i.e. Silenus

ἡμίτραγον: acc. pred., "soldier *who is half goat*" i.e. Pan

ἤγγελτο: plup. pass. of ***ἀγγέλλω***, note the personal use of ind. stat. with the passive verb of saying, "after the god *had been reported*"

πυρπολῶν ... καταφλέγων: pres. part. nom. in ind. stat. representing imperfect indicatives in the original report, "had been reported *to be setting fires ... to be burning down*"

ἀνάπτων: pres. part., "reported *to be setting (sc. fire) to*"

ἐμπεπληκώς: perf. part. act., "reported *to have filled* Indai with flame"

ὅπλον ... κεραυνοῦ: a parenthetical statement made by the author, after which he begins narrating rather than giving the report of the lookouts

κἀκ: = ***καὶ ἐκ***, "*and from* the thunderbolt" the weapon of his father Zeus

ἀνελάμβανον τὰ ὅπλα καὶ τοὺς ἐλέφαντας ἐπισάξαντες καὶ ἐγχαλινώσαντες καὶ τοὺς πύργους ἀναθέμενοι ἐπ' αὐτοὺς ἀντεπεξῄεσαν, καταφρονοῦντες μὲν καὶ τότε, ὀργιζόμενοι δὲ ὅμως καὶ συντρῖψαι σπεύδοντες αὐτῷ στρατοπέδῳ τὸν ἀγένειον ἐκεῖνον στρατηλάτην.

4. ἐπεὶ δὲ πλησίον ἐγένοντο καὶ εἶδον ἀλλήλους, οἱ μὲν Ἰνδοὶ προτάξαντες τοὺς ἐλέφαντας ἐπῆγον τὴν φάλαγγα, ὁ Διόνυσος δὲ τὸ μέσον μὲν αὐτὸς εἶχε, τοῦ κέρως δὲ αὐτῷ τοῦ δεξιοῦ μὲν ὁ Σιληνός, τοῦ εὐωνύμου δὲ ὁ Πὰν ἡγοῦντο:

ἀγένειος, ***-ον***: beardless
ἀλλήλων: of one another, to one another, one another
ἀναλαμβάνω: to take up
ἀνατίθημι: to lay upon, place on
ἀντεπέξειμι: to go out against (*fut.*)
γίγνομαι: to become
δεξιός, ***-ά***, ***-όν***: on the right side
ἐγχαλινόω: to put a bit in the mouth of
εἶδον: to see (*aor.*)
ἐλέφας, ***-αντος***: the elephant
ἐπάγω: to bring on
ἐπισάττω: to pile a load upon, saddle
εὐώνυμος, ***-ον***: of good name, on the left side
ἡγέομαι: to lead the way + *gen.*
καταφρονέω: to think down upon, despise
κέρας, ***κέρως***, ***τό***: the horn
μέσος, ***-η***, ***-ον***: middle, in the middle
ὀργίζω: to make angry, irritate
Πάν, ***ὁ***: Pan, the second of Dionysus' lieutenants
προτάττω: to place or post in front
πύργος, ***ὁ***: a tower
Σιληνός, ***ὁ***: Silenus, the first of Dionysus' lieutenants
σπεύδω: to hasten to + *inf.*
στρατηλάτης, ***ου***, ***ὁ***: a general, commander
στρατόπεδον, ***τό***: a military camp
συντρίβω: to rub together, crush
τότε: at that time, then
φάλαγξ, ***-αγγος***, ***ἡ***: a line of battle, battle-array

---

ἐπισάξαντες: aor. part. of ***ἐπισάττω***, "*having saddled* the elephants"
ἀναθέμενοι: aor. part. of ***ἀνα-τίθημι***, "*having placed on* them towers"
ἀντεπεξῄεσαν: impf. of ***ἀντι-ἐπι-ἐξ-εἶμι***, "they set out against"
καὶ τότε: "even then" i.e. despite the destruction, they still despised them
αὐτῷ στρατοπέδῳ: dat., "crush that one *with even the army*" i.e. army and all
ἐγένοντο: aor., "when *they were* near"
προτάξαντες: aor. part. of ***προτάττω***, "having placed in front"
ἐπῆγον: impf. of ***ἐπι-άγω*** inceptive, "*they began advancing* the phalanx
τοῦ κέρως: "was leading the *horn* to the right of him" i.e. the right flank

λοχαγοὶ δὲ καὶ ταξίαρχοι οἱ Σάτυροι ἐγκαθειστήκεσαν: καὶ τὸ μὲν σύνθημα ἦν ἅπασι τὸ «εὐοῖ». εὐθὺς δὲ τὰ τύμπανα ἐπαταγεῖτο καὶ τὰ κύμβαλα τὸ πολεμικὸν ἐσήμαινε καὶ τῶν Σατύρων τις λαβὼν τὸ κέρας ἐπηύλει τὸ ὄρθιον καὶ ὁ τοῦ Σιληνοῦ ὄνος ἐνυάλιόν τι ὠγκήσατο καὶ αἱ Μαινάδες σὺν ὀλολυγῇ ἐνεπήδησαν αὐτοῖς δράκοντας ὑπεζωσμέναι κἀκ τῶν θύρσων ἄκρων ἀπογυμνοῦσαι τὸν σίδηρον. οἱ Ἰνδοὶ δὲ καὶ οἱ ἐλέφαντες αὐτῶν αὐτίκα ἐγκλίναντες σὺν οὐδενὶ κόσμῳ

ἄκρον, **τό**: the tip, extremity
ἀπογυμνόω: to strip bare, lay bare
αὐτίκα: forthwith, straightway, at once
δράκων, **-οντος**, **ὁ**: a snake
ἐγκαθίστημι: to place or establish in
ἐγκλίνω: to bend inwards, collapse
ἐμπηδάω: to jump upon + *dat.*
ἐνυάλιος, **-α**, **-ον**: warlike (*an epithet of Ares*)
ἐπαυλέω: to accompany on the flute
εὐθὺς: immediately
θύρσος, **ὁ**: the thyrsus or Bacchic wand
κέρας, **τό**: the horn of an animal
κόσμος, **ὁ**: order
κύμβαλον, **τό**: a cymbal
λαμβάνω: to take
λοχαγός, **ὁ**: the leader of an armed band
Μαινάς, **-άδος**, **ἡ**: a Maenad, raving follower of Dionysus
ὀγκάομαι: to bray
ὀλολυγή, **ἡ**: any loud cry
ὄνος, **ὁ**: an ass
ὄρθιος, **-α**, **-ον**: steep, shrill
παταγέω: to clatter, clash, clap
πολεμικός, **-ή**, **-όν**: of or for war
Σάτυρος, **ὁ**: a Satyr
σημαίνω: to show by a sign, indicate
σίδηρος, **ὁ**: iron
σύνθημα, **-ατος**, **τό**: a watchword
ταξίαρχος, **ὁ**: the commander of a squadron
τύμπανον, **τό**: a kettledrum
ὑποζώννυμι: to gird under

ἐγκαθειστήκεσαν: plupf. intransitive of **ἐν-κατα-ἵστημι**,"*they had been established* as leaders"
τὸ εὐοῖ: nom. pred., "the 'Evoe!'" the usual shout of the followers of Dionysus
ἐπαταγεῖτο ... **ἐσήμαινε** ... **ἐπηύλει**: all inceptive impf., "they began clashing ... signaling ... playing the flute"
λαβὼν: aor. part., "*having taken* the horn"
τὸ ὄρθιον: acc. adverbial, "in a shrill manner"
ὠγκήσατο: aor., "*he brayed* something martial"
αὐτοῖς: "leapt upon *them*" i.e. the Indians
ὑπεζωσμέναι: perf. part. mid., "*having girded* snakes *under themselves*"
κἀκ: = **καὶ ἐκ**, "*and from* the tips of the thyrses"
ἀπογυμνοῦσαι: pres. part. "*laying bare* the steel"
ἐγκλίναντες: "*they having collapsed* in disorder"

ἔφευγον οὐδ' ἐντὸς βέλους γενέσθαι ὑπομείναντες, καὶ τέλος κατὰ κράτος ἑαλώκεσαν καὶ αἰχμάλωτοι ἀπήγοντο ὑπὸ τῶν τέως καταγελωμένων, ἔργῳ μαθόντες ὡς οὐκ ἐχρῆν ἀπὸ τῆς πρώτης ἀκοῆς καταφρονεῖν ξένων στρατοπέδων.

5. Ἀλλὰ *τί πρὸς τὸν Διόνυσον ὁ Διόνυσος οὗτος*; εἴποι τις ἄν. ὅτι μοι δοκοῦσι--καὶ πρὸς Χαρίτων μή με κορυβαντιᾶν ἢ τελέως μεθύειν ὑπολάβητε, εἰ τἀμὰ εἰκάζω τοῖς θεοῖς — ὅμοιόν

αἰχμάλωτος, **-ον**: taken prisoner
ἀκοή, **ἡ**: a report, hearsay
ἁλίσκομαι: to be taken, conquered
ἀπάγω: to lead away, carry off
βέλος, **-εος**, **τό**: a spearcast
δοκέω: to seem to + *inf.*
εἰκάζω: to liken X *(acc.)* to Y *(dat.)*
εἶπον: to speak, say (*aor.*)
ἐντός: within, inside + *gen.*
ἔργον, **τό**: a deed, work
καταγελάω: to laugh at, mock
καταφρονέω: to think down upon + *gen.*
Κορυβαντιάω: to be filled with Corybantic frenzy
κράτος, **-εος**, **τό**: strength, force
μανθάνω: to learn
μεθύω: to be drunken with wine
ξένος, **-η**, **-ον**: foreign, exotic
ὅμοιός, **-α**, **-ον**: similar to + *dat.*
πρῶτος, **-η**, **-ον**: first
στρατόπεδον, **τό**: a camp (*of soldiers*)
τελέως: completely
τέως: so long, erstwhile
ὑπολαμβάνω: to understand
ὑπομένω: to stay behind, survive
φεύγω: to flee, take flight
Χάριτες, **αἱ**: the Graces
χρή: it is necessary + *inf.*

ἐντὸς βέλους: "to be *within a spearcast*" i.e. not waiting to get close enough for a weapon to be thrown

ὑπομείναντες: aor. part., "not waiting to" + *inf.*

κατὰ κράτος: "by force"

ἑαλώκεσαν: aor. of **ἁλίσκομαι**, "they were captured"

ἀπήγοντο: impf., "they were being led away"

ὑπὸ τῶν καταγελωμένων: pres. part. pass. attributive, "by those who had been scorned"

